PA3875
.P8

ARISTOPHANES
PLUTUS

NICOLSON

GINN & COMPANY

ARY
OF
MT. ST. MARY'S
SEMINARY,
Emmitsburg, Md.

II-C-3

N C 53

LIBRARY
OF
MT. ST. MARY'S
SEMINARY,
EMMITSBURG, MD.

882.4
N653

THE PLUTUS

OF

ARISTOPHANES

WITH NOTES IN GREEK, BASED ON THE SCHOLIA

EDITED BY

FRANK W. NICOLSON, A.M.
ASSOCIATE PROFESSOR OF LATIN IN WESLEYAN UNIVERSITY

WITHDRAWN
MT. ST. MARY'S
SEMINARY,
Emmittsburg, Md.

BOSTON, U.S.A., AND LONDON
GINN & COMPANY, PUBLISHERS
1896

COPYRIGHT, 1896, BY
FRANK W. NICOLSON

ALL RIGHTS RESERVED

PREFACE.

THIS edition of the *Plutus* is designed to afford practice in sight-reading to students of some degree of advancement. The aim of the editor has been to give all necessary assistance in Greek notes at the foot of each page. These, while based on the scholia, are compiled also from other sources, and some have been written to suit the purposes of this edition.

Von Velsen's text is followed without deviation. The division into acts and scenes is that of Hemsterhuis's edition. For a discussion of the questions connected with the division of the Attic Comedy, the student is referred to the work entitled *Die Gliederung der altattischen Komödie*, by Dr. Thaddeus Zielinski (Leipzig, 1885). His arrangement, as compared with that of Hemsterhuis, is as follows: *Prologos* = Act I., Scenes 1 and 2 (vs. 1–252); *Parodos* = Act II., Scene 1 (vs. 253–321); *Zwischenscene* = Act II., Scenes 2–4 (vs. 322–486); *Agon* = Act II., Scenes 5 and 6 (vs. 487–626); *I. Epeisodion* = Act III., Scenes 1 and 2 (vs. 627–770); *II. Epeisodion* = Act III., Scene 3 (vs. 771–801); *III. Epeisodion* = Act IV.,

Scenes 1–3 (vs. 802–958); *IV. Epeisodion* = Act IV., Scenes 4 and 5 (vs. 959–1096); *V. Epeisodion* = Act V., Scene 1 (vs. 1097–1170); *Exodos* = Act V., Scenes 2 and 3 (vs. 1171–1209). The only reason for adopting the older arrangement in this edition is that its greater number of divisions gives opportunity for more frequent explanations of the development of the plot.

The illustrations are taken chiefly from paintings on vases, most of which were found in Lower Italy. While none of them have any direct connection with the *Plutus*, it is believed that they may serve to illustrate the costumes and some of the situations of the play. They are copied from the following works: —

Frontispiece	*Jahrb. des Inst.*, I., p. 295, *g*.
Group on page 1	Baumeister, *Denkmäler*, p. 1752, fig. 1827.
" " " 26	*Jour. Hell. Stud.*, XIII., pl. IV.
" " " 62	Baumeister, p. 1753, fig. 1829.
" " " 77 (a bronze)	Wieseler, *Theatergebäude*, Taf. XII. 44.
" " " 78	*Jahrb. des Inst.*, VIII., p. 69.
" " " 83	Wieseler, Taf. IX. 8.
" " " 84	*Arch. Zeit.*, 1849, Taf. V.
" " " 96	" " 1855, Taf. LXXVIII.
" " " 110	" " 1849, Taf. IV.

The plan of this book I owe to a suggestion of Professor John Williams White, to whom I am also under great obligations for advice and assistance in the publication of it. I wish also to express my thanks to Dr. C. J. Goodwin,

who carefully read the manuscript, and to Dr. J. M. Paton, who not only read the proof-sheets and offered valuable suggestions, but also aided me greatly in the choice of illustrations. For permission to use the illustration on page 26, I am indebted to the Council of the Hellenic Society.

FRANK W. NICOLSON.

WESLEYAN UNIVERSITY, MIDDLETOWN, CONN.,
January, 1896.

LIBRARY
OF
MT. ST. MARY'S
SEMINARY.
Emmittsburg, Md.

ΥΠΟΘΕΣΙΣ.

Βουλόμενος Ἀριστοφάνης σκῶψαι τοὺς Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας καὶ διὰ τοῦτο πλουντοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστόν, πένητα δὲ ἄλλως· ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδός, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα ἀδικίας ἀντιποιεῖσθαι καὶ ταὐτὰ τοῖς ἄλλοις ἐπιτηδεύειν, ἐπειδήπερ οἱ μὲν τοιοῦτοι ἐπλούτουν, οἱ δὲ τὰ ἀγαθὰ πράττοντες πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ Χρεμύλος. ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδέν, ὅτῳ δὲ ἐξιὼν ἐντύχοι, τούτῳ ἕπεσθαι. καὶ γέροντι ἐντυγχάνει τυφλῷ, ἣν δὲ οὗτος ὁ Πλοῦτος, καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅτι ὁ Πλοῦτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ' ἑαυτὸν ὁ θεράπων μόλις αὐτὸν ἐρωτᾷ τίνος ἕνεκα τούτῳ ἀκολουθοῦσι. καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ' αὐτοῦ τοῦ Πλούτου ὅστις ἐστὶ καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός. οἱ δὲ ἀκούσαντες ἥσθησάν τε καὶ βουλὴν ἐβουλεύσαντο ἀπαγαγεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, τάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας καὶ τῆς Πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅ τι τάχιστα καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε, ἐπλούτησάν τε ἱκανῶς οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι πένητες ἦσαν. ἐπιγέγραπται δὲ τὸ δρᾶμα Πλοῦτος Ἀριστοφάνους.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΚΑΡΙΩΝ.
ΧΡΕΜΥΛΟΣ.
ΠΛΟΥΤΟΣ.
ΧΟΡΟΣ ΑΓΡΟΙΚΩΝ.
ΒΛΕΨΙΔΗΜΟΣ.
ΠΕΝΙΑ
ΓΥΝΗ ΧΡΕΜΥΛΟΥ.
ΔΙΚΑΙΟΣ ΑΝΗΡ.
ΣΥΚΟΦΑΝΤΗΣ.
ΓΡΑΥΣ.
ΝΕΑΝΙΑΣ.
ΕΡΜΗΣ.
ΙΕΡΕΥΣ ΔΙΟΣ.

ACT I.

SCENE I.

In accordance with the advice of the oracle, Chremylus and his slave Cario have been for some time following a ragged and blind old man (afterwards discovered to be Plutus, the God of Wealth), but have not yet been able to hold any conversation with him. The play begins with the arrival of the three before the house of Chremylus.

Cario, who considers his master mad to be thus following a stranger about the country, demands an explanation. Being informed of the words of the oracle, he offers his interpretation of them, with which his master disagrees, adding that the blind man could no doubt clear up the matter, if he would only speak. Cario makes a final and successful effort to break the stranger's silence.

SCENE: *Street in Athens, before the house of* CHREMYLUS. (*The scene remains unchanged throughout the play.*) *Enter slowly,* L., *an old man* (PLUTUS), *blind, and dressed in rags. After him* CHREMYLUS *and* CARIO, *wearing chaplets: the latter carries a piece of meat, left over from the sacrifice. All three appear wearied, as if from a long journey.*

[METRE: *Iambic Trimeter.*]

CHREMYLUS. CARIO. [PLUTUS.]

ΚΑΡΙΩΝ (*soliloquizes*).

Ὡς ἀργαλέον πρᾶγμ' ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν. 5
τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον (*indicating himself*)
κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον (*pointing to* CHREMYLUS).
καὶ ταῦτα μὲν δὴ ταῦτα. τῷ δὲ Λοξίᾳ,
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι 10

1. **ἀργαλέον**: χαλεπόν, δύσκολον, βαρύ. εἴρηται δὲ παρὰ τὸ ἄλγος ἀλγαλέον, καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ, ἀργαλέον.

2. **παραφρονοῦντος**: μαινομένου, παρὰ τὸ εἰκὸς φρονοῦντος.

3. **λέξας τύχῃ**: περιφραστικῶς, ἀντὶ τοῦ λέξῃ.

5. **τῶν κακῶν**: ἤγουν τῶν πληγῶν, αἳ τοῖς ἀπειθοῦσι τοῖς δεσπόταις ὀφείλονται.

6. **τὸν κύριον**: οἷον, αὐτὸν ἑαυτοῦ τὸν δοῦλον οὐκ ἐᾷ κρατεῖν· μάλιστα γὰρ κύριος τοῦ σώματος ἕκαστος αὐτὸς ἑαυτοῦ.

7. **ὁ δαίμων**: ἡ τύχη. — **τὸν ἐωνημένον**: ἤγουν τὸν δεσπότην· ἀπὸ τοῦ ὠνέομαι.

8. **τῷ Λοξίᾳ**: τῷ Ἀπόλλωνι· ἢ τῷ λοξοὺς (τουτέστι διπλοῦς, οὐκ ὀρθοὺς) τοὺς χρησμοὺς διδόντι, ἢ τῷ λέγοντι πρὸ Διός (προφήτῃ Διός).

9. **ὃς θεσπιῳδεῖ κτέ.**: τραγικῶς ταῦτα ὁ ποιητής. — **τρίποδος**: ἡ γὰρ Πυθία ἐπὶ τρίποδος καθημένη χρησμῳδεῖ. — **χρυσηλάτου**: ἐκ χρυσοῦ πεποιημένου· ἀπὸ τοῦ χρυσὸς καὶ τοῦ ἐλαύνω.

ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς,
μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην,
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν ἢ προσῆκ' αὐτῷ ποιεῖν.
οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα· 15
οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,
καὶ ταῦτ' ἀποκρινόμενος τὸ παράπαν οὐδὲ γρῦ.
(*Turning to* CHREMYLUS.) *ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,*
ἢν μὴ φράσῃς ὅ τι τῷδ' ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ', ἀλλά σοι παρέξω πράγματα. 20
οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.

ΧΡΕΜΥΛΟΣ.

μὰ Δί', ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
ἵνα μᾶλλον ἀλγῇς.

ΚΑΡΙΩΝ.

λῆρος· οὐ γὰρ παύσομαι
πρὶν ἂν φράσῃς μοι τίς ποτ' ἐστὶν οὑτοσί·
εὔνους γὰρ ὤν σοι πυνθάνομαι πάνυ σφόδρα. 25

12. **μελαγχολῶντα**: *χολᾶν παρὰ τοῖς Ἀττικοῖς τὸ μαίνεσθαι.*

16. **προσβιάζεται**: *δηλονότι ἀκολουθεῖν.*

17. **ἀποκρινόμενος οὐδὲ γρῦ**: *ἤγουν οὐδ' ὁτιοῦν· ἀντὶ τοῦ οὐδὲ γρύζων· τὸ δὲ γρῦ παρὰ τὸν γρυλισμόν, τουτέστι τὴν φωνὴν τῶν συῶν (χοίρων).*

21. **στέφανον ἔχοντά γε**: *ἔθος ἦν εἰς τὸν Ἀπόλλω ἀπιόντας μετὰ στεφάνων ἐντεῦθεν ἀναχωρεῖν· ἡ δὲ στεφανηφορία πάντας ἴσους ἐποίησε, τούς τε δούλους καὶ τοὺς ἐλευθέρους.*

22. **μὰ Δία**: *οὕτως οἱ Ἀττικοί, ἀντὶ τοῦ οὐ μὰ Δία. —* **ἀφελὼν τὸν στέφανον**: *καθίκοιτο γὰρ ἂν οὕτω μᾶλλον τῆς κεφαλῆς.*

23. **λῆρος**: *ἀντὶ τοῦ ληρεῖς, ὅ ἐστι φλυαρεῖς, οὐδὲν λέγεις.*

25. **πάνυ σφόδρα**: *σύναπτε πρὸς τὸ εὔνους.*

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
πιστότατον ἡγοῦμαί σε.

ΚΑΡΙΩΝ (*aside*).

καὶ κλεπτίστατον.

ΧΡΕΜΥΛΟΣ.

ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν.

ΚΑΡΙΩΝ (*ruefully*).

οἶδά τοι.

ΧΡΕΜΥΛΟΣ.

ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες 30
καὶ συκοφάνται καὶ πονηροί.

ΚΑΡΙΩΝ (*knowingly*).

πείθομαι.

ΧΡΕΜΥΛΟΣ.

ἐπερησόμενος οὖν ᾠχόμην πρὸς τὸν θεόν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,

30. **ἱερόσυλοι**: οἱ συλῶντες, τουτέστι κλέπτοντες, τὰ ἱερὰ πράγματα ἐκ τῶν νεών.

31. **συκοφάνται**: ἀπείρητο Ἀθήνησι μὴ ἐξάγειν ἐντεῦθεν ἄλλοσέ που σῦκα· βουλομένων οὖν τινων ἐξενεγκεῖν, ἱστάμενοι ἐν ταῖς τῶν πυλῶν ἐξόδοις ἄνδρες πανοῦργοι τὸ τούτων ἐξήλεγχον τέχνασμα, ὃ περὶ τὴν ἐξαγωγὴν ἐποίουν. ἐκαλοῦντο οὖν οὗτοι συκοφάνται, ὡς τὰ σῦκα φαίνοντες. ἔπειτα δ' ἐπεκράτησεν ἐξ ἐκείνου τοὔνομα πρὸς πάντας τοὺς πανούργους. — **πείθομαι**: πιστεύω.

34. **ἐκτετοξεῦσθαι**: τετελειῶσθαι, ἐκ μεταφορᾶς τῶν τοξευόντων, ὅταν τὴν φαρέτραν κενώσωσιν.

τὸν δ' υἱόν, ὅσπερ ὢν μόνος μοι τυγχάνει, 35
πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας συμφέρειν.

ΚΑΡΙΩΝ (*in mock-tragic style*).

τί δῆτα Φοίβος ἔλακεν ἐκ τῶν στεμμάτων;

ΧΡΕΜΥΛΟΣ.

πεύσει. σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί· 40
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιών,
ἐκέλευε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.

ΚΑΡΙΩΝ.

καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ;

ΧΡΕΜΥΛΟΣ (*pointing to* PLUTUS).

τουτῳί.

ΚΑΡΙΩΝ.

εἶτ' οὐ ξυνίεις τὴν ἐπίνοιαν τοῦ θεοῦ, 45
φράζοντος ὦ σκαιότατέ σοι σαφέστατα
ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;

ΧΡΕΜΥΛΟΣ.

τῷ τοῦτο κρίνεις;

39. **ἔλακεν**: ἀντὶ τοῦ ἔχρησεν. — **στεμμάτων**: οἱ γὰρ τρίποδες τοῦ θεοῦ δάφνῃ ἦσαν ἐστεμμένοι, ὡς καὶ ἡ προφῆτις.

40. **πεύσει**: οἱ Ἀττικοὶ τὰ τῶν παθητικῶν χρόνων δεύτερα πρόσωπα ἀεὶ διὰ διφθόγγου γράφουσιν.

44. **τῷ**: τίνι.

45. **ξυνίεις**: νοεῖς, γιγνώσκεις.

47. **ἀσκεῖν**: ἐργάζεσθαι.

48. **τῷ**: ποίῳ σημείῳ; τὸ ἑξῆς, ὁτιὴ καὶ τυφλὸς δοκεῖ γνῶναι τοῦτο δῆλον.

ΚΑΡΙΩΝ.

δῆλον ὁτιὴ καὶ τυφλὸς
γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ σύμφορον
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ. 50

ΧΡΕΜΥΛΟΣ.

οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ
ὅστις ποτ' ἐστὶν οὑτοσί (*pointing to* Plutus), καὶ τοῦ χάριν
καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ. 55

ΚΑΡΙΩΝ (*to* Plutus, *with threatening gestures*).

ἄγε δή, σὺ πότερον σαυτὸν ὅστις εἶ φράσεις,
ἢ τἀπὶ τούτοις δρῶ; λέγειν χρὴ ταχὺ πάνυ.

SCENE 2.

The blind old man reluctantly, and only under the compulsion of threats, announces that he is Plutus, the God of Wealth. He explains his blindness as a visitation from Zeus, the result of the latter's jealousy of the just and wise men whom Plutus had intended in his youth exclusively to visit. Having announced himself, he is eager to depart, but is forcibly detained by his new acquaintances. Chremylus promises to restore his eyesight if he will consent to remain with them. Plutus is fearful of the increased anger of Zeus, but is finally persuaded by ingenious arguments that he himself is the mightiest of all the gods, and has nothing

51. **ῥέπει**: *φέρεται, ἐκ μεταφορᾶς τοῦ ζυγοῦ· τὸ δὲ ζυγὸν τὸ τὰς ἰσότητας διακρῖνον σκεῦος.*

57. **τἀπὶ τούτοις**: *τὰ ἐπὶ τῇ ἀπειλῇ· καὶ γὰρ ἡ πεῦσις ἄνω ἀπειλητική· τὰ δὲ ἐστὶ πληγαὶ καὶ τραύματα.*

to fear. CHREMYLUS sends CARIO to invite his fellow-farmers to come and share the blessings which PLUTUS will bring to all good men; meanwhile he takes the blind god into his house.

[METRE: *Iambic Trimeter.*]

CHREMYLUS. CARIO. PLUTUS.

ΠΛΟΥΤΟΣ (*angrily*).

ἐγὼ μὲν οἰμώζειν λέγω σοι.

ΚΑΡΙΩΝ (*to* CHREMYLUS, *pretending not to understand*).

μανθάνεις
ὅς φησιν εἶναι;

ΧΡΕΜΥΛΟΣ (*to* CARIO).

σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει. 60
(*To* PLUTUS.) ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον.

ΠΛΟΥΤΟΣ (*as before*).

κλάειν ἔγωγέ σοι λέγω.

ΚΑΡΙΩΝ (*mockingly*).

δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

ΧΡΕΜΥΛΟΣ (*angrily, to* PLUTUS).

οὔ τοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι.

58. **οἰμώζειν**: οἰμώζω, τὸ θρηνῶ, κλαίω· ἀπὸ τοῦ οἴμοι. 60. **σκαιῶς**: ἀπαιδεύτως.

61. **εὐόρκου**: εὔορκος ὁ φυλάττων τὸν ὅρκον· καὶ ἀντὶ τοῦ εὐσεβοῦς, δικαίου.

63. **τὸν ὄρνιν**: τὴν μαντείαν τοῦ Ἀπόλλωνος ὄρνιν λέγει, ἐπειδήπερ οἱ παλαιοὶ οὐ μόνον διὰ τῶν ἄλλων, ἀλλὰ καὶ δι' ὀρνίθων ἐμαντεύοντο. καὶ πᾶν τὸ ἐπὶ σημείῳ καὶ τεκμηρίῳ τινὶ παραλαμβανόμενον ὄρνιν ἐκάλουν, ἀπὸ μεταφορᾶς καὶ τὸ μάντευμα καὶ τὸ σύμβολον.

64. **τὴν Δήμητρα**: εἰκότως ταύτην ὅρκον λαμβάνει ὡς γεωργός· ἡ γὰρ Δημήτηρ τῆς γῆς ἔφορος.

ΚΑΡΙΩΝ (*threateningly, to* Plutus).

εἰ μὴ φράσεις γάρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς. 65

ΠΛΟΥΤΟΣ.

ὦ τᾶν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ.

ΧΡΕΜΥΛΟΣ.

πώμαλα.

ΚΑΡΙΩΝ.

καὶ μὴν ὃ λέγω βέλτιστόν ἐστ', ὦ δέσποτα.
ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν καταλιπὼν
ἄπειμ', ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών. 70

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' αἶρε ταχέως.

Chremylus *and* Cario *seize* Plutus, *who struggles violently.*

ΠΛΟΥΤΟΣ.

μηδαμῶς.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν ἐρεῖς;

ΠΛΟΥΤΟΣ (*reluctant to speak*).

ἀλλ' ἢν πύθησθέ μ' ὅστις εἴμ', εὖ οἶδ' ὅτι
κακόν τί μ' ἐργάσεσθε κοὐκ ἀφήσετον.

65. **ὀλῶ**: *σύναπτε πρὸς τὸ ἀπό.*

66. **ὦ τᾶν**: *κυρίως ὦ φίλε, ὦ ἑταῖρε· πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τᾶν.* — **πώμαλα**: *οὐδαμῶς.*

69. **κρημνόν**: *κρημνὸς ἐξοχή ἐστι πέτρας.*

70. **ἐκτραχηλισθῇ**: *τὸν τράχηλον κατακλασθῇ.*

ΧΡΕΜΥΛΟΣ.

νὴ τοὺς θεοὺς ἡμεῖς γ', ἐὰν βούλῃ γε σύ.

ΠΛΟΥΤΟΣ.

μέθεσθέ νύν μου πρῶτον.

ΧΡΕΜΥΛΟΣ.

ἤν, μεθίεμεν. 75

They let PLUTUS *go.*

ΠΛΟΥΤΟΣ.

ἀκούετον δή. δεῖ γὰρ ὡς ἔοικέ με
λέγειν ἃ κρύπτειν ἢ παρεσκευασμένος.
ἐγὼ γάρ εἰμι Πλοῦτος.

ΚΑΡΙΩΝ (*indignantly*).

ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων, εἶτ' ἐσίγας Πλοῦτος *ὤν;*

ΧΡΕΜΥΛΟΣ.

σὺ Πλοῦτος, *οὕτως ἀθλίως διακείμενος;* 80
ὦ Φοῖβ' Ἄπολλον καὶ θεοὶ καὶ δαίμονες
καὶ Ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ;

ΠΛΟΥΤΟΣ.

ναί.

ΧΡΕΜΥΛΟΣ.

ἐκεῖνος αὐτός;

ΠΛΟΥΤΟΣ.

αὐτότατος.

ΧΡΕΜΥΛΟΣ (*pointing to* PLUTUS's *ragged clothes*).

πόθεν οὖν, φράσον,

74. **ἡμεῖς γε**: δηλ. ἀφήσομεν. — **βούλῃ**: δηλ. ἡμᾶς μεθίεσθαι. 75. **ἤν**: ἰδού. 83. **αὐτότατος**: τοῦ γελοίου χάριν οὕτω πέπαικται, ὥσπερ καὶ τὸ μονώτατος (182).

αὐχμῶν βαδίζεις;

ΠΛΟΥΤΟΣ.

ἐκ Πατροκλέους ἔρχομαι,
ὃς οὐκ ἐλούσατ' ἐξ ὅτουπερ ἐγένετο. 85

ΧΡΕΜΥΛΟΣ (*touching* Plutus's *blind eyes*).

τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.

ΠΛΟΥΤΟΣ.

ὁ Ζεύς με ταῦτ' ἔδρασεν ἀνθρώποις φθονῶν.
ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ' ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
μόνους βαδιοίμην· ὁ δέ μ' ἐποίησεν τυφλόν, 90
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.

ΧΡΕΜΥΛΟΣ.

καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μονους
καὶ τοὺς δικαίους.

ΠΛΟΥΤΟΣ.

ομολογῶ σοι.

ΧΡΕΜΥΛΟΣ.

φέρε, τί οὖν;
εἰ πάλιν ἀναβλέψειας ὥσπερ καὶ πρὸ τοῦ, 95

84. **ἐκ Πατροκλέους**: ἐκ τῆς οἰκίας τοῦ Πατροκλέους. οὗτος δὲ Ἀθηναῖος ἦν πλούσιος ἀλλὰ φειδωλός, εἷς τῶν τὸν Λακωνικὸν ζηλούντων βίον. ἦν δὲ τραγῳδίας ποιητής, ἄλλως δὲ καὶ κακόβιος καὶ φιλοχρήματος.

85. **ἐξ ὅτουπερ**: χρόνου δηλ.

86. **τουτὶ τὸ κακόν**: ἤγουν τὴν τύφλωσιν.

89. **ὡς**: ἀντὶ τοῦ πρός.

94. **ὁμολογῶ σοι**: ὅμοιά σοι λέγω ἐν τούτῳ. — **φέρε**: ἄγε δή.

φεύγοις ἂν ἤδη τοὺς πονηρούς;

ΠΛΟΥΤΟΣ.

φήμ' ἐγώ.

ΧΡΕΜΥΛΟΣ.

ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις;

ΠΛΟΥΤΟΣ.

πάνυ μὲν οὖν·
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑόρακ' ἐγὼ χρόνου.

ΚΑΡΙΩΝ (*aside*).

καὶ θαῦμά γ' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.

ΠΛΟΥΤΟΣ (*appealingly*).

ἄφετόν με νῦν. ἴστον γὰρ ἤδη τἀπ' ἐμοῦ. 100

ΧΡΕΜΥΛΟΣ.

μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἐξόμεσθά σου.

ΠΛΟΥΤΟΣ (*angrily*).

οὐκ ἠγόρευον ὅτι παρέξειν πράγματα
ἐμέλλετόν μοι;

ΧΡΕΜΥΛΟΣ (*beseechingly*).

καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ,
καὶ μή μ' ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα. 105

99. **καὶ θαῦμά γ' οὐδέν κτέ.** : οὐδέν φησι παράδοξον, εἰ τυφλὸς ὢν οὐχ ἑώρακας αὐτούς, ἐπεὶ καὶ ἐγὼ βλέπω μέν, ἀλλὰ νῦν γε αὐτοὺς οὐχ ὁρῶ.

ΚΑΡΙΩΝ (*aside*).

μὰ τὸν Δί'· οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ.

ΠΛΟΥΤΟΣ.

ταυτὶ λέγουσι πάντες· ἡνίκ' ἂν δέ μου
τύχωσ' ἀληθῶς καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.

ΧΡΕΜΥΛΟΣ.

ἔχει μὲν οὕτως, εἰσὶ δ' οὐ πάντες κακοί. 110

ΠΛΟΥΤΟΣ.

μὰ Δί', ἀλλ' ἀπαξάπαντες.

ΚΑΡΙΩΝ (*angrily*).

οἰμώξει μακρά.

ΧΡΕΜΥΛΟΣ (*persuasively*).

σὺ δ' ὡς ἂν εἰδῇς ὅσα, παρ' ἡμῖν ἢν μένῃς,
γενήσετ' ἀγαθά, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
(*In mock-tragic tones.*) οἶμαι γὰρ, οἶμαι, σὺν θεῷ δ' εἰρήσεται,
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας, 115
βλέψαι ποιήσας.

107. **ἡνίκα**: ὁπότε.

109. **ἀτεχνῶς**: ἀληθῶς· τέχνη γὰρ ὁ δόλος παρὰ τοῖς Ἀττικοῖς· τὸ δὲ ἄνευ δόλου ἀληθές. — **ὑπερβάλλουσι**: ὑπερβάλλω καὶ ὑπερβάλλομαι τὸ αὐτό, ὡς ποιῶ καὶ ποιοῦμαι· καὶ συντάττεται πρὸς μὲν τὸ πρόσωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ, οἷον, ὑπερβάλλω τὸν δεῖνα λόγῳ.

111. **ἀπαξάπαντες**: πάντες ὁμοῦ. — **μακρά**: ὥστε μακρὰν ἀκούεσθαι.

115. **ὀφθαλμίας**: ὀφθαλμία κυρίως ἡ κατὰ τοὺς ὀφθαλμοὺς ἀπὸ νοσήματός τινος γιγνομένη βλάβη, ἥτις καὶ ἰάσιμός ἐστιν· ἐνταῦθα δὲ ἀντὶ τῆς τυφλώσεως παρείληπται· τύφλωσις γάρ ἐστιν ἡ παντελὴς τῆς ὁράσεως στέρησις.

ΠΛΟΥΤΟΣ.

μηδαμῶς τοῦτ' ἐργάσῃ.
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι.

ΧΡΕΜΥΛΟΣ (*astounded*).

τί φῄς;

ΚΑΡΙΩΝ.

ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.

ΠΛΟΥΤΟΣ (*aside, to the audience*).

ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων μῶρ' ἐμὲ
αἴσχιστ' ἂν ἐπιτρίψειε.

ΧΡΕΜΥΛΟΣ (*overhearing him*).

νῦν δ' οὐ τοῦτο δρᾷ, 120
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;

ΠΛΟΥΤΟΣ.

οὐκ οἶδ'· ἐγὼ δ' ἐκεῖνον ὀρρωδῶ πάνυ.

ΧΡΕΜΥΛΟΣ.

ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων;
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου, 125
ἐὰν ἀναβλέψῃς σὺ κἂν σμικρὸν χρόνον;

ΠΛΟΥΤΟΣ (*with a start*).

ἆ, μὴ λέγ', ὦ πονηρέ, ταῦτ'.

119. **τὰ μῶρα**: *τὰ ἀνόητα ἔργα.*
120. **τοῦτο δρᾷ**: *ἤγουν ἐπιτρίβει σε.*
121. **προσπταίοντα**: *σφαλλόμενον καὶ καταπίπτοντα.* — **περινοστεῖν**: *περιπατεῖν, ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν.*
122. **ὀρρωδῶ**: *φοβοῦμαι.*

ΧΡΕΜΥΛΟΣ.

ἔχ' ἥσυχος.
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζον δυνάμενον.

ΠΛΟΥΤΟΣ (*astonished*).

ἐμὲ σύ;

ΧΡΕΜΥΛΟΣ.

νὴ τὸν οὐρανόν.
αὐτίκα γὰρ ἄρχει διὰ τί ὁ Ζεὺς τῶν θεῶν;

ΚΑΡΙΩΝ.

διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ.

ΧΡΕΜΥΛΟΣ.

φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ';

ΚΑΡΙΩΝ (*pointing to* Plutus).

ὁδί.

ΧΡΕΜΥΛΟΣ.

θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;

ΚΑΡΙΩΝ.

καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως
παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ';

ΠΛΟΥΤΟΣ (*mystified*).

ὁτιὴ τί δή;

130. **αὐτίκα**: παραδείγματος χάριν.
134. **ἄντικρυς**: φανερῶς.
136. **ὁτιὴ τί δή**: ἀντὶ τοῦ διατί ἢ πῶς ἄρα (τοῦτ' ἔλεξας).

ΧΡΕΜΥΛΟΣ (*to* PLUTUS).

ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ' οὐδὲ ἕν,
μὴ βουλομένου σοῦ.

ΠΛΟΥΤΟΣ.

πῶς;

ΧΡΕΜΥΛΟΣ.

ὅπως; οὐκ ἔσθ' ὅπως
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν 140
αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς
τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.

ΠΛΟΥΤΟΣ.

τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ;

ΧΡΕΜΥΛΟΣ.

φήμ' ἐγώ.
καὶ νὴ Δί' εἴ τί γ' ἔστι λαμπρὸν καὶ καλὸν
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται. 145
ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.

ΚΑΡΙΩΝ.

ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι, πρότερον ὢν ἐλεύθερος.

ΧΡΕΜΥΛΟΣ.

καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ, 150

138. **ψαιστόν**: εἶδος πλακοῦντος ἐξ ἀλφίτων ἐλαίῳ καὶ μέλιτι δεδευμένων.

144. τὸ καλὸν ἐπὶ τοῦ ἐραστοῦ λέγεται, τὸ χάριεν ἐπὶ ἡδονῆς, τὸ δὲ λαμπρὸν ἐπὶ ὄψεως.

οὐδὲ προσέχειν νὸν νοῦν, ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ἐς τοῦτον τρέπειν.

ΚΑΡΙΩΝ.

καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν,
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.

ΧΡΕΜΥΛΟΣ.

οὐ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ 155
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί.

ΚΑΡΙΩΝ.

τί δαί;

ΧΡΕΜΥΛΟΣ.

ὁ μὲν ἵππον ἀγαθόν, ὁ δὲ κύνας θηρευτικούς.

ΚΑΡΙΩΝ.

αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.

ΧΡΕΜΥΛΟΣ.

τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα, 160
ἐν τοῖσιν ἀνθρώποισίν ἐσθ' εὑρημένα.
ὁ μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος,
ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται.

ΚΑΡΙΩΝ.

ὁ δὲ χρυσοχοεῖ γε, χρυσίον παρὰ σοῦ λαβών,

162. **σκυτοτομεῖ**: ἀντὶ τοῦ σκυτοτόμος ἐστί, ὁ τέμνων τὰ σκύτη (τουτέστι τὰ δέρματα τῶν ζῴων), καὶ ὑποδήματα ῥάπτων.

163. **χαλκεύει**: χαλκεύς ἐστι. — **τεκταίνεται**: τέκτων ἐστί.

164. **χρυσοχοεῖ**: χρυσοχόος ἐστί, κατεργαζόμενος τὸν χρυσόν.

ΧΡΕΜΥΛΟΣ.

ὁ δὲ λωποδυτεῖ γε νὴ Δί',

ΚΑΡΙΩΝ.

ὁ δὲ τοιχωρυχεῖ, 165

ΧΡΕΜΥΛΟΣ.

ὁ δὲ γναφεύει γ'.

ΚΑΡΙΩΝ.

ὁ δέ γε πλύνει κῴδια,

ΧΡΕΜΥΛΟΣ.

ὁ δὲ βυρσοδεψεῖ γ'.

ΚΑΡΙΩΝ.

ὁ δέ γε πωλεῖ κρόμμυα,

ΧΡΕΜΥΛΟΣ.

ὁ δ' ἁλούς γε μοιχὸς διὰ σέ γ' οὐ παρατίλλεται.

ΠΛΟΥΤΟΣ (*with a bewildered air*).

οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.

ΚΑΡΙΩΝ.

μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ; 170

ΧΡΕΜΥΛΟΣ.

ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;

LIBRARY OF MT. ST. MARY'S SEMINARY, Emmitsburg, Md.

165. **λωποδυτεῖ**: *κλέπτης ἐστί, συλῶν τὰ ἱμάτια· λῶπος γὰρ τὸ ἱμάτιον λέγεται.* — **τοιχωρυχεῖ**: *τοίχους οἴκων διορύττει, τὰ ἐντὸς τούτων ὑφαιρεῖσθαι βουλόμενος. τὸ δὲ σχῆμα τοῦ λόγου παρὰ προσδοκίαν λέγεται.*

166. **γναφεύει**: *γναφεύς ἐστι, τὰ δέρματα ξύων.* — **πλύνει κῴδια**: *βάπτει ἢ λευκαίνει τὰ δέρματα.*

167. **βυρσοδεψεῖ**: *τὰς βύρσας ἕψει· αἱ δὲ βύρσαι τὰ δερμάτια τῶν βοῶν.* — **κρόμμυα**: *εἶδος φυτοῦ ἐν τῇ γῇ φυομένου.*

168. **παρατίλλεται**: *τὰς τρίχας τίλλεται· αὕτη γὰρ δίκη ἦν τοῖς μοιχοῖς πένησιν· οἱ δὲ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο.*

170. **μέγας βασιλεύς**: *τὸν τῶν Περσῶν βασιλέα, ὡς πάσης τῆς Ἀσίας ἄρχοντα, μέγαν ἐκάλουν.* — **κομᾷ**: *ἀντὶ τοῦ κόμην ἔχει· ἤγουν ἐπαίρεται, θάλλει, μέγα φρονεῖ.*

171. **ἐκκλησία γίγνεται**: *ἐλάμβανον γὰρ οἱ εἰσιόντες εἰς τὴν ἐκκλησίαν καθ' ἑσπέραν τριώβολον.*

ΚΑΡΙΩΝ (*to* Plutus).

τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.

ΧΡΕΜΥΛΟΣ.

τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;

ΚΑΡΙΩΝ.

ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;

ΧΡΕΜΥΛΟΣ.

ὁ βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου; 175

ΚΑΡΙΩΝ.

Ἀγύρριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;

ΧΡΕΜΥΛΟΣ.

Φιλέψιος δ' οὐχ ἕνεκα σοῦ μύθους λέγει;

ΚΑΡΙΩΝ.

ἡ ξυμμαχία δ' οὐ διὰ σὲ τοῖς Αἰγυπτίοις;

172. **τὰς τριήρεις πληροῖς**: οἱ γὰρ πλούσιοι τῶν τριηραρχῶν πλείονας ναύτας ἔτρεφον, καὶ διὰ τοῦτο ἐπλήρουν τὰς ναῦς, οἱ δὲ πένητες οὐδαμῶς.

173. **τὸ ἐν Κορίνθῳ ξενικόν**: στράτευμα δηλονότι· μετὰ γὰρ τὸν πόλεμον τὸν Πελοποννησιακὸν καὶ αὐτοὶ οἱ σύμμαχοι τῶν Λακεδαιμονίων συνεκρότησαν πόλεμον κατ' αὐτῶν· συνέλαβον δὲ αὐτοῖς οἱ Ἀθηναῖοι, καὶ ἔσχον τὴν Κόρινθον ὁρμητήριον, εἰς ἣν ἔπεμψαν ξενικὸν στράτευμα, καὶ αὐτοὶ ἔτρεφον αὐτό. τοῦ δὲ στρατεύματος ἦρχεν ὁ Ἰφικράτης.

174. **Πάμφιλος**: οὗτος δημαγωγὸς ἦν καὶ ἔκλεπτε τὰ τοῦ δήμου· ἁλοὺς οὖν δίκην ἐδίδου, οὐσίαν δημευθείς.

175. **ὁ βελονοπώλης**: παράσιτος ἦν οὗτος τοῦ Παμφίλου· εὑρέθη δὲ καὶ μετὰ τοῦ Παμφίλου κλέπτων.

176. **Ἀγύρριος**: πλούσιος ἦν οὗτος Ἀθηναῖος.

177. **Φιλέψιος**: οὗτος πένης ὢν λέγων ἱστορίας ἐτρέφετο· πολυλόγος οὖν διαβάλλεται.

178. ἐν σιτοδείᾳ ὄντες οἱ Ἀθηναῖοί ποτε πρὸς τοὺς Αἰγυπτίους ἔπεμψαν αἰτοῦντες σῖτον· οἱ δὲ ἔπεμψαν ἱκανόν. καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι ἔπεμψαν τοῖς Αἰγυπτίοις συμμαχίαν εἰς τοὺς πολέμους καὶ εἶχον φιλίαν καὶ συμμαχίαν πρὸς ἀλλήλους.

ΧΡΕΜΥΛΟΣ.

ἐρᾷ δὲ Ναῖς οὐ διὰ σὲ Φιλωνίδου;

ΚΑΡΙΩΝ.

ὁ Τιμοθέου δὲ πύργος —

ΧΡΕΜΥΛΟΣ (*interrupting, impatiently*).

ἐμπέσοι γέ σοι. 180

(*Turning to* PLUTUS.) τὰ δὲ πράγματ' οὐχὶ διὰ σὲ πάντα πράττεται;
μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος,
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.

ΚΑΡΙΩΝ.

κρατοῦσι γοῦν κἀν τοῖς πολέμοις ἑκάστοτε
ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνοι. 185

ΠΛΟΥΤΟΣ (*wonderingly*).

ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;

ΧΡΕΜΥΛΟΣ.

καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
ὥστ' οὐδὲ μεστὸς σοῦ γέγον' οὐδεὶς πώποτε.
τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος —

ΚΑΡΙΩΝ (*interrupting*).

ἄρτῶν

179. **Φιλωνίδου**: Φιλωνίδης ἀνήρ τις ἦν πλούσιος. τούτου, καίπερ ἀμόρφου καὶ ἀπαιδεύτου, διὰ τὰ χρήματα ἠράσθη Ναΐς, πόρνη οὖσα ἐν Κορίνθῳ.

180. **ὁ Τιμοθέου πύργος**: ὁ Τιμόθεος πλούσιος, ἅμα δὲ καὶ ὄλβιος ἀνήρ, στρατηγὸς Ἀθηναίων, οἶκον ὑψηλὸν καὶ πολυτελέστατον ἐν Ἀθήναις ἐποίησε. — **ἐμπέσοι γέ σοι**: παρὰ προσδοκίαν, δέον εἰπεῖν διὰ τὸν πλοῦτον ἐγένετο.

184. **ἑκάστοτε**: ἀντὶ τοῦ ἀεί· οὐ γὰρ ἐλέγετο πάντοτε ὑπὸ τοῖς Ἀττικοῖς.

185. **ἐπικαθέζηται**: ἀπὸ μεταφορᾶς τῶν ζυγῶν· ἐπικαθέζεσθαι γὰρ τὸ βαροῦν λέγεται.

188. **μεστός**: πεπληρωμένος.

190. **ἄρτων**: ὁ δοῦλος λέγει τὰ πρὸς τὴν γαστέρα, τοῖς ὑπὸ τοῦ δεσπότου λεγομένοις σπουδαίοις ταῦτα παραπλέξας. —

ΧΡΕΜΥΛΟΣ.

μουσικῆς

ΚΑΡΙΩΝ.

τραγημάτων 190

ΧΡΕΜΥΛΟΣ.

τιμῆς

ΚΑΡΙΩΝ.

πλακούντων

ΧΡΕΜΥΛΟΣ.

ἀνδραγαθίας

ΚΑΡΙΩΝ.

ἰσχάδων

ΧΡΕΜΥΛΟΣ.

φιλοτιμίας

ΚΑΡΙΩΝ.

μάζης

ΧΡΕΜΥΛΟΣ.

στρατηγίας

ΚΑΡΙΩΝ.

φακῆς.

ΧΡΕΜΥΛΟΣ.

σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
ἀλλ' ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα· 195
κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται,

μουσικῆς: τέχνης δηλ. — **τραγημάτων**: τὰ μετὰ τὸ συμπόσιον τῇ τραπέζῃ τιθέμενα καλοῦσι τραγήματα.

191. **πλακούντων**: πλακοῦς (πλακόεις, ἀπὸ τοῦ πλάξ, τουτέστι πλατύς) εἴρηται κατ' ἔλλειψιν τοῦ ἄρτος. — **ἰσχάδων**: ἰσχάδες σῦκά εἰσι ξηρά.

192. **μάζης**: μάζα (ἀπὸ τοῦ μάττω) ἄρτος ἐστὶν ἐκ κριθῆς πεποιημένος. — **φακῆς**: φακῆ εἶδος ὀσπρίου, καὶ ὁ ἐκ τούτου ἑτοιμαζόμενος ζωμός.

194. **τάλαντα**: ἰστέον, ὅτι ἡ δραχμὴ ἓξ ὀβολοί εἰσιν· ἡ δὲ μνᾶ ἑκατὸν δραχμαί· τὸ δὲ τάλαντον ἑξήκοντα μναῖ.

ἤ φησιν οὐ βιωτὸν εἶναι τὸν βίον.

ΠΛΟΥΤΟΣ.

εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
πλὴν ἓν μόνον δέδοικα.

ΧΡΕΜΥΛΟΣ.

φράζε, τοῦ πέρι.

ΠΛΟΥΤΟΣ.

ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατε 200
ἔχειν με, ταύτης δεσπότης γενήσομαι.

ΧΡΕΜΥΛΟΣ.

νὴ τὸν Δί'· ἀλλὰ καὶ λέγουσι πάντες ὡς
δειλότατόν ἐσθ' ὁ πλοῦτος.

ΠΛΟΥΤΟΣ (*indignant*).

ἥκιστ', ἀλλά με
τοιχωρύχος τις διέβαλ'. εἰσδὺς γάρ ποτε
οὐκ εἶχεν ἐκ τῆς οἰκίας οὐδὲν λαβεῖν, 205
εὑρὼν ἁπαξάπαντα κατακεκλειμένα·
εἶτ' ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν.

ΧΡΕΜΥΛΟΣ (*encouragingly*).

μή νυν μελέτω σοι μηδέν· ὡς, ἐὰν γένῃ
ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,

197. **βιωτόν**: βιώσιμον, ἄξιον ζωῆς.

198. **πάνυ**: σύναπτε πρὸς τὸ εὖ.

199. **τοῦ πέρι**: ἀντὶ τοῦ, ἕνεκα τίνος δέδοικας.

200. **ὅπως**: ἤγουν πῶς. — **τὴν δύναμιν ἣν**: ἀντὶ τῆς δυνάμεως ἥν.

202. **ἀλλὰ καὶ λέγουσι**: οὐ σὺ μόνος λέγεις σαυτὸν δειλόν, ἀλλὰ καὶ πάντες. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Πλοῦτος εἶπεν, πλὴν ἓν μόνον δέδοικα.

203. **δειλότατον**: λέγεται περὶ τῶν πλουσίων ὅτι δειλοὶ διὰ τὸ ἀγωνιᾶν μή πως ἀπολέσωσι τά χρήματα. αἰνίττεται δὲ εἰς Εὐριπίδην. ἐκεῖνος γάρ φησι (Φοίν. 597) "δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν."

204. **διέβαλε**: κακῶς ἔλεξε.

βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως. 210

ΠΛΟΥΤΟΣ.

πῶς οὖν δυνήσει τοῦτο δρᾶν σὺ θνητὸς ὤν;

ΧΡΕΜΥΛΟΣ.

ἔχω τιν' ἀγαθὴν ἐλπίδ' ἐξ ὧν εἶπέ μοι
ὁ Φοῖβος αὐτὸς Πυθικὴν σείσας δάφνην.

ΠΛΟΥΤΟΣ (*much excited*).

κἀκεῖνος οὖν σύνοιδε ταῦτα;

ΧΡΕΜΥΛΟΣ.

φήμ' ἐγώ.

ΠΛΟΥΤΟΣ (*anxiously*).

ὁρᾶτε —

ΧΡΕΜΥΛΟΣ (*interrupting*).

μὴ φρόντιζε μηδέν, ὦγαθέ. 215
ἐγὼ γάρ, εὖ τοῦτ' ἴσθι, κἂν χρῇ μ' ἀποθανεῖν,
αὐτὸς διαπράξω ταῦτα.

ΚΑΡΙΩΝ.

κἂν βούλῃ γ', ἐγώ.

ΧΡΕΜΥΛΟΣ.

πολλοὶ δ' ἔσονται χἄτεροι νῷν ξύμμαχοι,
ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.

210. **Λυγκέως**: Λυγκεύς, εἷς τῶν Ἀργοναύτων, ἐλέγετο εἶναι πάνυ ὀξυδερκέστατος, ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. πρῶτος γὰρ οὗτος εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων.

213. **Πυθικὴν σείσας δάφνην**: φασὶν ὡς πλησίον τοῦ τρίποδος δάφνη ἵστατο, ἣν ἡ Πυθία, ἡνίκα ἐχρησμῴδει, ἔσειεν.

218. **χἄτεροι νῷν**: καὶ ἕτεροι ἡμῖν.

219. **ἄλφιτα**: ἀντὶ τοῦ ἄρτος· κυρίως δὲ τὰ ἀπὸ νέας κριθῆς ἄλευρα. καὶ τοῦτο λέγεται ἀντὶ τοῦ οὐκ ἦν χρήματα, ἀπὸ μέρους τὸ πᾶν.

ΠΛΟΥΤΟΣ (*sneeringly*).

παπαῖ, πονηρούς γ' εἶπας ἡμῖν συμμάχους. 220

ΧΡΕΜΥΛΟΣ.

οὔκ, ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
(*To* CARIO.) ἀλλ' ἴθι σὺ μὲν ταχέως δραμών —

ΚΑΡΙΩΝ (*impatient to start*).

τί δρῶ; λέγε.

ΧΡΕΜΥΛΟΣ.

τοὺς ξυγγεώργους κάλεσον, εὑρήσεις δ' ἴσως
ἐν τοῖς ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους,
ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθοῖ παρὼν 225
ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.

ΚΑΡΙΩΝ.

καὶ δὴ βαδίζω· τουτοδὶ τὸ κρεάδιον
τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.

ΧΡΕΜΥΛΟΣ.

ἐμοὶ μελήσει τοῦτό γ'· ἀλλ' ἀνύσας τρέχε.

CARIO *hands the meat to* CHREMYLUS; *then exit*, R.

(*To* PLUTUS.) σὺ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων, 230
εἴσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'· ἡ γὰρ οἰκία
αὕτη 'στὶν ἣν δεῖ χρημάτων σε τήμερον
μεστὴν ποιῆσαι καὶ δικαίως κἀδίκως.

224. **ταλαιπωρουμένους**: κακοπαθοῦντας.

227. **κρεάδιον**: ὑποκοριστικὸν ὄνομα ἀπὸ τοῦ κρέας. καὶ τοῦτο ἔρχεται ἀπὸ τῆς θυσίας ἔχων ἐκ τῶν Δελφῶν. οἱ γὰρ ἐκ θυσίας ἰόντες ἔφερον τὰ λοιπὰ ἐξ αὐτῆς τοῖς οἰκείοις κατὰ νόμον τινά.

229. **ἀνύσας**: σπεύσας.

232. **τήμερον**: οὕτως οἱ Ἀττικοί, ἀντὶ τοῦ σήμερον.

233. **καὶ δικαίως κἀδίκως**: ἀπάσῃ τέχνῃ, παντὶ τρόπῳ· οὕτως οἱ Ἀττικοί.

ΠΛΟΥΤΟΣ (*reluctant to enter*).

ἀλλ' ἄχθομαι μὲν εἰσιὼν νὴ τοὺς θεοὺς
εἰς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ· 235
ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
ἢν μὲν γὰρ ὡς φειδωλὸν εἰσελθὼν τύχω,
εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω·
κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος
αἰτῶν λαβεῖν τι σμικρὸν ἀργυρίδιον, 240
ἔξαρνός ἐστι μηδ' ἰδεῖν με πώποτε.
ἢν δ' ὡς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος
γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνου.

ΧΡΕΜΥΛΟΣ.

μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πωποτε. 245
ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ' ἀεί.
χαίρω τε γὰρ φειδόμενος ὡς οὐδεὶς ἀνὴρ
πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ.
ἀλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον, 250
ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ.

234. **ἄχθομαι**: *βαρύνομαι, φορτικὸν ἡγοῦμαι.*

235. **πάνυ**: *τοῦτο πρὸς τὸ ἄχθομαι συναπτέον.*

236. **αὐτοῦ**: *τοῦ εἰσέρχεσθαι δηλονότι.*

237. **ὡς**: *εἰς.* — **φειδωλόν**: *φειδόμενον ἔνθα οὐ δεῖ· ὁ φεύγων τὸ δοῦναι.*

238. **κατώρυξεν**: *κατορύττω τι τὸ φανερὸν κρύπτω.*

241. **ἔξαρνός ἐστι**: *ἀπαρνεῖται, οὔ φησι.*

242. **παραπλῆγα**: *ἄφρονα, μωρόν, μανικόν.*

243. **παραβεβλημένος**: *ἐκδεδομένος.*

244. **θύραζε**: *ἐκτὸς τῆς θύρας.* — **ἀκαρεῖ**: *ὀλίγῳ· ἀπὸ τοῦ α καὶ κείρω· πεποίηται δὲ παρὰ τὸ ἄτμητον τοῦ χρόνου· ἀκαρὲς δὲ τὸ ἄτμητον.*

245. **μετρίου**: *ἐλευθέρου, μέτρον καὶ τάξιν ἔχοντος ἐν τῷ βίῳ.*

246. **τούτου τοῦ τρόπου**: *τῆς μετριότητος δηλονότι.*

248. **ἀναλῶν**: *ἀντὶ τοῦ δαπανῶν.*

ΠΛΟΥΤΟΣ (*appearing pleased*).

πείθομαι.

ΧΡΕΜΥΛΟΣ.

τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;

Exeunt CHREMYLUS *and* PLUTUS *into the house.*

ACT II.

SCENE I.

Cario returns with the old farmers, who constitute the Chorus. In answer to their request for information as to the reason of this sudden summons, Cario, after some bantering remarks. informs them that the God of Wealth is in Chremylus's house, and that he will speedily make them all rich. They express their joy in a dance, accompanied by rude jests, the slave leading them; Cario then enters the house to refresh himself for his coming labors by eating some stolen bread and meat.

Enter hurriedly, R., *into the Orchestra,* Cario *and the* Chorus, *conversing together. He begins to dance at v.* 290, *and they imitate him at v.* 296.

[METRE: 253–289, *Iambic Tetrameter Catalectic;* 290–295 = 296–301, *Iambic Tetrameter Catalectic, with two iambic dimeters acatalectic;* 302–308 = 309–315, *Iambic Tetrameter Catalectic, with one iambic trimeter acatalectic, two iambic dimeters acatalectic, and one iambic dimeter catalectic;* 316–321, *Iambic Tetrameter Catalectic, with four iambic dimeters acatalectic.*]

CARIO. CHORUS.

ΚΑΡΙΩΝ (*as he hurries in, followed by the* CHORUS).

ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταὐτὸν θύμον φαγόντες,
ἄνδρες φίλοι καὶ δημόται καὶ τοῦ πονεῖν ἐρασταί,
ἴτ' ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν, 255
ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ' ἀμύνειν.

ΧΟΡΟΣ.

οὔκουν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
ὡς εἰκός ἐστιν ἀσθενεῖς γέροντας ἄνδρας ἤδη;
σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, καὶ ταῦτα πρὶν φράσαι μοι
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο. 260

ΚΑΡΙΩΝ (*impatiently*).

οὔκουν πάλαι δήπου λέγω; σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
ὁ δεσπότης γάρ φησιν ὑμᾶς ἡδέως ἅπαντας
ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.

253. **πολλά**: πολλάκις.—**τῷ δεσπότῃ**: σὺν τῷ δεσπότῃ, τῷ ἐμῷ δηλονότι. — **θύμον**: εἶδος φυτοῦ ἀρωματικοῦ καὶ οὐ πολλοῦ ἀξίου, ᾧ δι' ἀπορίαν ἐχρῶντο οἱ πένητες· ἀντὶ τοῦ, τῆς αὐτῆς πενίας μεταστχόντες.

254. **δημόται**: οἱ ἀπὸ τοῦ αὐτοῦ δήμου.

255. **ἐγκονεῖτε**: ἀντὶ τοῦ ἐνεργεῖτε, ταχύνατε· ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται.

259. **ἀξιοῖς**: ἄξιον κρίνεις.

263. **ψυχροῦ**: ἤτοι τοῦ ταλαιπώρου· τὸ δὲ ἑξῆς, ὑμᾶς ἅπαντας ἀπαλλαγέντας ψυχροῦ καὶ δυσκόλου βίου ζήσειν.

ΧΟΡΟΣ.

ἔστιν δὲ δὴ τί καὶ πόθεν τὸ πρᾶγμα τοῦθ' ὅ φησιν;

ΚΑΡΙΩΝ.

ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν', ὦ πονηροί, 265
ῥυπῶντα, κυφόν, ἄθλιον, ῥυσόν, μαδῶντα, νωδόν·
οἶμαι δὲ νὴ τὸν οὐρανὸν καὶ χωλὸν αὐτὸν εἶναι.

ΧΟΡΟΣ (*joyously*).

ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι.
δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.

ΚΑΡΙΩΝ.

πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν. 270

ΧΟΡΟΣ.

μῶν ἀξιοῖς φενακίσας μ' ἔπειτ' ἀπαλλαγῆναι
ἀζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;

ΚΑΡΙΩΝ.

πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα
ἡγεῖσθέ μ' εἶναι κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;

ΧΟΡΟΣ.

ὡς σεμνὸς οὐπίτριπτος· αἱ κνῆμαι δέ σου βοῶσιν 275

266. **ῥυπῶντα**: αὐχμοῦ μεστόν. — **κυφόν**: κυρτόν, οὐκ ὀρθόν. — **ἄθλιον**: δυστυχῆ. — **ῥυσόν**: ῥυτίδας ἔχοντα· ῥύτις δὲ ἡ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφὴ ὑπὸ τοῦ γήρως. — **μαδῶντα**: φαλακρόν, καθόλου τρίχας μὴ ἔχοντα. — **νωδόν**: ὀδόντας μὴ ἔχοντα διὰ τὸ γῆρας.

267. **χωλόν**: σκάζοντα, βεβλαμμένον τὸν πόδα ἢ τοὺς πόδας.

268. **χρυσὸν ἐπῶν**: ἀντὶ τοῦ χρυσᾶ ἔπη.

269. **σωρόν**: πλῆθος· κυρίως δέ, τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος.

270. **κακῶν**: διὰ τὸ τῷ γήρᾳ ἔπεσθαι κακὰ πολλά. — **ἔγωγε**: δηλονότι, δηλῶ αὐτὸν ἥκειν.

271. **μῶν**: μὴ οὖν. — **φενακίσας**: ἀπατήσας.

272. **ἀζήμιος**: ἀβλαβής.

275. **σεμνός**: μεγαλοπρεπής· τοῦτο δὲ κατ' εἰρωνείαν. — **οὐπίτριπτος**: ἐπίτριπτος

ἰοὺ ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.

ΚΑΡΙΩΝ.

ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,
σὺ δ' οὐ βαδίζεις; ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.

ΧΟΡΟΣ (*angrily*).

διαρραγείης. ὡς μόθων εἶ καὶ φύσει κόβαλος,
ὅστις φενακίζεις, φράσαι δ' οὔπω τέτληκας ἡμῖν 280
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο·
οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς, προθύμως
δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.

ΚΑΡΙΩΝ.

ἀλλ' οὐκέτ' ἂν κρύψαιμι. τὸν Πλοῦτον γάρ, ὦνδρες, ἥκει

ὁ ἄξιος ἐπιτρίψεως· τὸ δὲ ἐπιτρῖψαι τὸ διαφθεῖραι. — **κνῆμαι**: *τὸ ἀπὸ τοῦ γόνατος μέχρι τῶν ἀστραγάλων μέρος τοῦ ποδός.*

276. **τὰς χοίνικας καὶ τὰς πέδας**: *τὸ μὲν ὡς εἶδος, τὸ δὲ ὡς γένος· αἱ γὰρ χοίνικες πέδαι εἰσί τινες. πέδαι δὲ οἱ δεσμοὶ τῶν ποδῶν.*

277. **τῇ σορῷ**: *τῷ τάφῳ· ἀντὶ τῷ δικαστηρίῳ, παρὰ προσδοκίαν· οἱ γὰρ γέροντες πλησίον εἰσὶ τοῦ τάφου.* — **λαχὸν τὸ γράμμα**: *ἀντὶ τοῦ, λαχόντος τοῦ γράμματος· τὴν γὰρ εὐθεῖαν ἔθηκεν ἀντὶ τῆς γενικῆς, Ἀττικῷ ἔθει χρησάμενος. καὶ ἔθος ἦν τοῦτο τοῖς Ἀθηναῖοις περὶ τὰς δίκας· δικαστήρια ἦσαν δέκα, τὸ μὲν φόνου, τὸ δὲ μοιχείας, τὸ δὲ ἑτέρου τινός. ἐξελέγοντο δὲ ἄνδρας τινάς, καὶ ἔταττον αὐτοὺς εἰς τὰ τοιαῦτα δικαστήρια, κριτὰς εἶναι. ἔγραφον δὲ πρότερον τὰ τῶν ἀνδρῶν ὀνόματα, καὶ κλήρου γιγνομένου, ὁ μὲν εἰς τοῦτο, ὁ δὲ εἰς ἐκεῖνο δικάζειν ἐλάγχανεν. ἐδίδου δὲ ὁ κῆρυξ αὐτοῖς ῥάβδον, ἥτις ἦν σύμβολον τοῦ δικάζειν, ἵνα ἕκαστος καθ' ἑσπέραν ἀποδιδοὺς τῷ πρυτάνει τὴν ῥάβδον, τριώβολον λαμβάνῃ μισθὸν τῆς δικάσεως. ἀντὶ οὖν τοῦ εἰπεῖν ἐν τῷ δικαστηρίῳ τοῦ γραμματός σου λαχόντος δικάζειν, καὶ διὰ τοῦτο καὶ ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον, ὁ Καρίων σκώπτων αὐτοὺς ὡς γέροντας καὶ ἐγγὺς θανάτου ὄντας φησὶν ἐν τῇ σορῷ καὶ ὁ Χάρων.*

279. **μόθων**: *ὑβριστής· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις παῖδας τῶν Εἱλώτων μόθωνας ἐκάλουν.* — **κόβαλος**: *πανοῦργος.*

282. **μοχθήσαντες**: *μοχθέω τὸ κακοπαθέω.*

283. **πολλῶν θύμων ῥίζας**: *οἱ τὴν Ἀττικὴν οἰκοῦντες πένητες, ἐπεὶ μὴ εἶχον τὰς ἐκ τῶν σπερμάτων τροφάς (ἀνεπιτήδειος γὰρ ὁ τόπος ἦν εἰς τὴν γεωργίαν, κατάξηρος ὤν), ἥσθιον θύμους* (253).

ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποιήσει. 285

ΧΟΡΟΣ.

ὄντως γὰρ ἔστι πλουσίοις ἡμῖν ἅπασιν εἶναι;

ΚΑΡΙΩΝ.

νὴ τοὺς θεούς, Μίδαις μὲν οὖν, ἦν ὦτ' ὄνου λάβητε.

ΧΟΡΟΣ (*joyously*).

ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι
ὑφ' ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.

ΚΑΡΙΩΝ (*beginning to dance*).

καὶ μὴν ἐγὼ βουλήσομαι θρεττανελὸ τὸν Κύκλωπα 290
μιμούμενος καὶ τοῖν ποδοῖν ὠδὶ παρενσαλεύων
ὑμᾶς ἄγειν. ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων μέλη,
ἕπεσθ' ἀπεψωλημένοι· τράγοι δ' ἀκρατιεῖσθε. 295

286. **ὄντως**: ἀληθῶς.

287. **Μίδαις**: οὗτος ὁ Μίδας, βασιλεὺς ὢν τῆς Φρυγίας, πλουσιώτατος ἦν· ᾔτησε γάρ, ὥς φασι, τοὺς θεούς, ὅ τι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γίγνεσθαι· καὶ τυχὼν τῆς εὐχῆς, ὑπὸ λιμοῦ ἀπέθανεν. μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν· τὸ δ' ἀληθές, ὅτι πολλοὺς εἶχεν κατασκόπους, ὡς πάντ' ἔχειν γιγνώσκειν τὰ ἐν τῇ ὑπ' αὐτῷ χώρᾳ λεγόμενά τε καὶ πραττόμενα.

290. **θρεττανελό**: μιμεῖται τὸ τῆς κιθάρας μέλος. καὶ οὐ συνάπτεται τοῦτο πρὸς τὴν σύνταξιν. — **τὸν Κύκλωπα**: ἡ τοῦ Κύκλωπος ἱστορία δήλη· ὅτι ποιμὴν ὢν καὶ λύραν κατέχων ἡγεῖτο τοῖς αὐτοῦ προβάτοις, καὶ ὅτι αὐτὸν Ὀδυσσεὺς ἐτύφλωσεν (Ὁμ. Ὀδ. ι. 371–390). ὥσπερ οὖν ἐκεῖνος πρὸς τὰ πρόβατα, οὕτω καὶ οὗτος ἦν πρὸς τοὺς γέροντας, ᾄδων καὶ πορευόμενος μετ' αὐτῶν.

291. **τοῖν ποδοῖν παρενσαλεύων**: ἤγουν ὀρχούμενος. — **ὠδί**: ἀντὶ τοῦ οὕτως· δεικτικῶς.

292. **εἶα**: ἄγε. — **θαμίνα**: πολλάκις, συχνῶς.

293. **βληχώμενοι**: βοῶντες, ᾄδοντες· τὸ γὰρ βληχᾶσθαι ἐπὶ τῆς τῶν προβάτων φωνῆς.

294. **κιναβρώντων**: ὀσμὴν ἀποπεμπόντων· κινάβρα γὰρ ἡ δυσωδία τῶν αἰγῶν.

295. **ἀπεψωλημένοι**: τὰ αἰδοῖα δεικνύντες. — **ἀκρατιεῖσθε**: ἀντὶ τοῦ φάγοιτε· ἀκρατισμὸς γὰρ λέγεται τὸ πρωινὸν φαγεῖν.

ΧΟΡΟΣ (*imitating* CARIO's *dance*).

ἡμεῖς δέ γ' αὖ ζητήσομεν θρεττανελὸ τὸν Κύκλωπα
βληχώμενοι, σὲ τουτονὶ πινῶντα καταλαβόντες,
πήραν ἔχοντα λάχανά τ' ἄγρια δροσερά, κραιπαλῶντα
ἡγούμενον τοῖς προβατίοις,
εἰκῇ δὲ καταδαρθόντα που, 300
μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι.

ΚΑΡΙΩΝ.

ἐγὼ δὲ τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ
ἔπεισεν ὡς ὄντας κάπρους
μεμαγμένον σκῶρ ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐτοῖς, 305
μιμήσομαι πάντας τρόπους·
ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας
ἕπεσθε μητρὶ χοῖροι.

ΧΟΡΟΣ.

οὐκοῦν σε τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν

296. **ζητήσομεν**: *σύναπτε πρὸς τὸ ἐκτυφλῶσαι.*

297. **καταλαβόντες κτέ.**: *ὥσπερ τὸν Κύκλωπα ὁ Ὀδυσσεύς· τοῦ γὰρ Καρίωνος μνησθέντος τοῦ Κύκλωπος, οἱ γέροντες ἐπάγουσιν ἃ ἔπαθε παρὰ τοῦ Ὀδυσσέως ὁ Κύκλωψ.*

298. **πήραν**: *σάκκον, κυρίως τὴν θήκην τῶν ἄρτων.* — **κραιπαλῶντα**: *μεθύοντα.*

300. **εἰκῇ**: *μάτην, ὡς ἔτυχεν, ἀκαίρως.* — **καταδαρθόντα**: *κατακοιμηθέντα.*

301. **ἡμμένον**: *κεκαυμένον· ἀπὸ τοῦ ἅπτω.* — **σφηκίσκον**: *ξύλον ὠξυμμένον, ἐπεὶ καὶ ὁ σφὴξ ὀξὺς ἐκ τῶν ὄπισθεν.*

302. **τὴν Κίρκην**: Ὁμ. Ὀδ. κ. 203–574. *Παίζων τὴν Ναΐδα, πόρνην τινὰ ἐν Κορίνθῳ, τοῦτό φησι, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν.* — **ἀνακυκῶσαν**: *ταράττουσαν, μιγνύουσαν.*

303. **Φιλωνίδου**: *θέλων ὁ ποιητὴς σκῶψαι τὸν Φιλωνίδην, ὅτι αὐτοῦ ἥρα Ναΐς, ἀντὶ τοῦ εἰπεῖν τοὺς ἑταίρους τοῦ Ὀδυσσέως, Φιλωνίδου εἶπεν· ἐν Κορίνθῳ δέ, ὡς ἐκεῖ τῆς Ναΐδος οἰκούσης* (179).

305. **μεμαγμένον**: *ἀπὸ τοῦ μάττω.* — **σκῶρ**: *κόπρον.*

307. **γρυλίζοντες**: *φωνὴν μικρῶν χοίρων ἀφιέντες.* 308. **μητρί**: *δηλονότι ἐμοί.*

καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους, 310
λαβόντες ὑπὸ φιληδίας
τὸν Λαρτίου μιμούμενοι 'κ τῶν ὄρχεων κρεμῶμεν,
μινθώσομέν θ' ὥσπερ τράγου
τὴν ῥῖνα· σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς·
ἔπεσθε μητρὶ χοῖροι. 315

ΚΑΡΙΩΝ.

ἀλλ' εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
ὑμεῖς ἐπ' ἄλλ' εἶδος τρέπεσθ',
ἐγὼ δ' ἰὼν εἴσω λάθρᾳ
βουλήσομαι τοῦ δεσπότου
λαβών τιν' ἄρτον καὶ κρέας 320
μασώμενος τὸ λοιπὸν οὕτω τῷ κόπῳ ξυνεῖναι.

Exit CARIO *into the house.*

A dance of the CHORUS occupies the interval between this and the next scene.

SCENE 2.

CHREMYLUS, having been informed by CARIO of the arrival of the CHORUS, comes out to welcome them, and to ask their aid in caring for the god. They readily promise it.

Enter CHREMYLUS, *from his house. He addresses the* CHORUS.

310. **μαγγανεύουσαν**: μαγγανεύω τὸ μίγνυμι παντοδαπὰ πρὸς φενακισμόν. — **μολύνουσαν**: μολύνω τὸ φθείρω, ἀτιμάζω.

312. **τὸν Λαρτίου**: δηλονότι υἱόν· τὸν Ὀδυσσέα. — **κρεμῶμεν**: ὡς ὁ Ὀδυσσεὺς τὸν Μελάνθιον ἐκρέμασεν (Ὁμ. Ὀδ. χ. 170–200).

313. **μινθώσομεν**: κοπρώσομεν· μίνθος γὰρ λέγεται ἡ κόπρος.

314. **τὴν ῥῖνα**: τὸν μυκτῆρα. — **σὺ δ' Ἀρίστυλλος**: λείπει τὸ ὡς. οὗτος δὲ αἰσχρὸς καὶ μαλακὸς ἦν καὶ τῷ στόματι χάσκων, ὡς τοῖς ὀρῶσι κινεῖν γέλωτα.

316. **σκώμματα**: λοιδορήματα, γέλωτος χάριν.

318. **λάθρᾳ**: σύναπτε πρὸς τὸ δεσπότου.

321. **τῷ κόπῳ**: τῷ ἔργῳ· ἤγουν τῇ περὶ τὸν Πλοῦτον ἐπιμελείᾳ.

[METRE: *Iambic Trimeter.*]

CHREMYLUS. CHORUS.

ΧΡΕΜΥΛΟΣ.

χαίρειν μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται,
ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν·
ἀσπάζομαι δ', ὁτιὴ προθύμως ἥκετε
καὶ συντεταμένως κοὐ κατεβλακευμένως. 325
ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
ἔσεσθε καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.

ΧΟΡΟΣ (*with a show of boldness*).

θάρρει· βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη.
δεινὸν γάρ, εἰ τριωβόλου μὲν οὕνεκα
ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇκκλησίᾳ, 330
αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῷ λαβεῖν.

ΧΡΕΜΥΛΟΣ (*looking off the stage*, R.).

καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
προσιόντα· δῆλος δ' ἐστὶν ὅτι τοῦ πράγματος
ἀκήκοέν τι τῇ βαδίσει καὶ τῷ τάχει.

322. **χαίρειν μὲν ὑμᾶς κτέ.**: *τὸ ἑξῆς, προσαγορεύειν μὲν ὑμᾶς χαίρειν ἀρχαῖον καὶ σαπρόν ἐστι.* — **δημόται**: 254.

323. **σαπρόν**: *αἰσχρόν, παλαιόν.*

325. **συντεταμένως**: *σπουδαίως, μετὰ τάξεως· ἀπὸ τοῦ συντείνω.* — **κατεβλακευμένως**: *ῥαθύμως, βραδέως· ἀπὸ τοῦ καταβλακεύω.*

326. **ὅπως**: *δηλονότι ὁρᾶτε καὶ σκοπεῖτε.* — **συμπαραστάται**: *σύμμαχοι, βοηθοί.*

327. **ὄντως**: *κατ' ἀλήθειαν.* — **τοῦ θεοῦ**: *ἡγουν τοῦ* Πλούτου.

328. **ἄντικρυς**: *φανερῶς.* — **βλέπειν Ἄρη**: *φαίνεσθαι ἀνδρεῖον, πολεμικώτατον.*

330. **ὠστιζόμεσθα**: *ἀλλήλους ὠθοῦντες.*

331. **παρείην**: *καταλείψαιμι. παριέναι γὰρ τὸ ἐᾶν.*

SCENE 3.

Blepsidemus, hearing a rumor of the sudden increase in wealth of his friend Chremylus, comes to make inquiries. Being assured by Chremylus that the story is true, he immediately suspects that his friend has acquired his riches by stealing, and is persuaded to the contrary only by being informed of the presence of Plutus in Chremylus's house. The latter discloses his plan of taking the blind god to the temple of Aesculapius to be cured.

Enter Blepsidemus, r., *in great haste.*

[Metre: *Iambic Trimeter.*]

Chremylus. Blepsidemus. [Chorus.]

ΒΛΕΨΙΔΗΜΟΣ (*soliloquizes, excitedly*).

τί ἂν οὖν τὸ πρᾶγμα καὶ πόθεν; καὶ τίνι τρόπῳ 335
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι.
(*Reflecting.*) καίτοι λόγος γ' ἦν νὴ τὸν Ἡρακλέα πολὺς
ἐν τοῖσι κουρείοισι τῶν καθημένων,
ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
ἔστιν δέ μοι τοῦτ' αὐτὸ θαυμάσιον, ὅπως 340
χρηστόν τι πράττων τοὺς φίλους μεταπέμπεται.
οὔκουν ἐπιχώριόν γε πρᾶγμ' ἐργάζεται.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ· νὴ τοὺς θεούς,

336. **ἐξαπίνης**: ἐξαίφνης.
337. **λόγος**: φήμη.
338. **κουρείοισι**: κουρεῖα ἦσαν ἐργαστήρια, ἐν οἷς οἱ βουλόμενοι τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος ἐκείροντο, ὁπότε ἐκβαῖεν τοῦ μέτρου.
342. **ἐπιχώριον**: σύνηθες τῇ χώρᾳ. διαβάλλει ἐντεῦθεν τοὺς Ἀθηναίους ὡς φθονεροὺς καὶ μὴ μεταδιδόντας τοῖς φίλοις χρηστοῦ τινος.

ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν,
ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων. 345

ΒΛΕΨΙΔΗΜΟΣ.

γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

ΧΡΕΜΥΛΟΣ (*hesitatingly*).

ἔσομαι μὲν οὖν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ.
ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι.

ΒΛΕΨΙΔΗΜΟΣ.

ποῖός τις;

ΧΡΕΜΥΛΟΣ.

οἷος —

ΒΛΕΨΙΔΗΜΟΣ (*interrupting, impatiently*).

λέγ' ἀνύσας ὅ τι φῄς ποτε.

ΧΡΕΜΥΛΟΣ.

ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί· 350
ἢν δὲ σφαλῶμεν, ἐπιτετρίφθαι τὸ παράπαν.

ΒΛΕΨΙΔΗΜΟΣ.

τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον,
καί μ' οὐκ ἀρέσκει. τό τε γὰρ ἐξαίφνης ἄγαν
οὕτως ὑπερπλουτεῖν, τό τ' αὖ δεδοικέναι
πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ' εἰργασμένου. 355

348. **ἔνι**: *ἔνεστι.*

350. **εὖ πράττειν ἀεί**: *σύναπτε πρὸς τὸ κίνδυνος* (348).

351. **τὸ παράπαν**: *ἀντὶ τοῦ παντελῶς, κατὰ πάντα τρόπον.*

352. **φορτίον**: *τὸ βάρος, κυρίως τῆς νεώς.*

355. **πρὸς ἀνδρὸς κτέ.**: *ἔστι ἴδιον κακοῦ ἀνδρός.*

ΧΡΕΜΥΛΟΣ

πῶς οὐδὲν ὑγιές;

ΒΛΕΨΙΔΗΜΟΣ.

εἴ τι κεκλοφὼς νὴ Δία
ἐκεῖθεν ἥκεις ἀργύριον ἢ χρυσίον
παρὰ τοῦ θεοῦ, κἄπειτ' ἴσως σοι μεταμέλει.

ΧΡΕΜΥΛΟΣ (*indignantly*).

Ἄπολλον ἀποτρόπαιε, μὰ Δί' ἐγὼ μὲν οὔ.

ΒΛΕΨΙΔΗΜΟΣ (*slyly*).

παῦσαι φλυαρῶν, ὦγάθ'· οἶδα γὰρ σαφῶς. 360

ΧΡΕΜΥΛΟΣ (*as before*).

σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιουτονί.

ΒΛΕΨΙΔΗΜΟΣ (*feigning sorrow*).

φεῦ·
ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός,
ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.

ΧΡΕΜΥΛΟΣ (*angrily*).

οὔ τοι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.

ΒΛΕΨΙΔΗΜΟΣ (*aside, sadly*).

ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχεν τρόπων. 365

357. **ἀργύριον ἢ χρυσίον**: ἤγουν ἃ ἀνατιθέασιν ἄνθρωποι τῷ θεῷ.

360. **φλυαρῶν**: περισσολογῶν, ληρῶν, οὐδὲν λέγων.

362. **ἀτεχνῶς ὑγιές**: φανερῶς ἀληθές.

363. **κέρδους ἅπαντες ἥττονες**: νικώμενοι ὑπὸ τοῦ κέρδους, ὥσπερ οὗτος ἡττᾶται, καὶ τὸ ἀληθὲς οὐκ ἐθέλει λέγειν.

364. **ὑγιαίνειν**: ὑγιὴς τῶν φρενῶν εἶναι.

365. **μεθέστηχε**: μετεβλήθη.

ΧΡΕΜΥΛΟΣ.

μελαγχολᾷς, ὦνθρωπε, νὴ τὸν οὐρανόν

ΒΛΕΨΙΔΗΜΟΣ (*as before*).

ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν μένει
ἀλλ' ἐστὶν ἐπίδηλόν τι πεπανούργηχ' ὅτι.

ΧΡΕΜΥΛΟΣ.

σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος
ζητεῖς μεταλαβεῖν.

ΒΛΕΨΙΔΗΜΟΣ.

μεταλαβεῖν ζητῶ; τίνος; 370

ΧΡΕΜΥΛΟΣ.

τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.

ΒΛΕΨΙΔΗΜΟΣ.

μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας;

ΧΡΕΜΥΛΟΣ (*in despair*).

κακοδαιμονᾷς.

ΒΛΕΨΙΔΗΜΟΣ.

ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;

ΧΡΕΜΥΛΟΣ.

οὐ δῆτ' ἔγωγ'.

ΒΛΕΨΙΔΗΜΟΣ (*impatiently*).

ὦ Ἡράκλεις, φέρε, ποῖ τις ἂν
τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλει φράσαι. 375

366. **μελαγχολᾷς**: *μαίνῃ* (12).
367. **τὸ βλέμμα**: *οἱ ὀφθαλμοί.*—**κατὰ χώραν**: *κατὰ τὸ πρέπον, ὡς δεῖ.*
369. **κρώζεις**: *παροιμία ἐπὶ τῶν μάτην θρυλούντων, ὡς αἱ κορῶναι.*
372. **κακοδαιμονᾷς**· *μαίνῃ.*

ΧΡΕΜΥΛΟΣ.

κατηγορεῖς γὰρ πρὶν μαθεῖν τὸ πρᾶγμά μου.

ΒΛΕΨΙΔΗΜΟΣ (*confidentially*).

ὦ τᾶν, ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
ἐθέλω διαπρᾶξαι πρὶν πυθέσθαι τὴν πόλιν,
τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.

ΧΡΕΜΥΛΟΣ (*sneeringly*).

καὶ μὴν φίλως γ' ἄν μοι δοκεῖς νὴ τοὺς θεοὺς 380
τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.

ΒΛΕΨΙΔΗΜΟΣ (*looking at* Chremylus, *significantly*).

ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,
ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
καὶ τῆς γυναικός, κοὐ διοίσοντ' ἄντικρυς
τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου. 385

ΧΡΕΜΥΛΟΣ.

οὔκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους

376. **μοῦ**: *σύναπτε πρὸς τὸ κατηγορεῖς.*

377. **ὦ τᾶν**: *ὦ φίλε.* — **τοῦτο**: *ἤγουν ὃ πεπανούργηκας.* — **ἀπὸ σμικροῦ**: *ἀπὸ σμικρᾶς δαπάνης.*

379. **ἐπιβύσας**: *ἀντὶ τοῦ ἐπιπλήσας.* — **κέρμασιν**: *δωρήμασι, νομίσμασι, ἵν' ὅταν καταστῇς εἰς κρίσιν, συνηγοροῦντας αὐτοὺς ἔχῃς διὰ τὴν δωροδοκίαν.*

380. **καὶ μὴν κτέ.**: *εἰρωνικὸν τοῦτο.*

382. **τινά**: *ἤγουν τὸν Χρεμύλον.* — **καθεδούμενον**: *ἀπὸ καθέζομαι.*

383. **ἱκετηρίαν**: *κλάδος (ῥάβδος) ἐλαίας ἐρίῳ πεπλεγμένος, ὃν κατεῖχον οἱ ἱκετεύοντες.*

384. **διοίσοντα**: *διαφορὰν ἔξοντα.*

385. **τῶν Παμφίλου**: *οὗτος ζωγράφος· ἔγραψε δὲ εἰς τὴν στοὰν ποικίλην τῶν Ἀθηναίων τοὺς Ἡρακλείδας ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον· μετὰ γὰρ θάνατον Ἡρακλέους Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὸν Ἡρακλέα, τὸν ἐκείνων πατέρα ἐμφύλιον μῖσος. κατὰ δέ τινας, τραγικὸς ἦν ὁ Πάμφιλος, ὃς τὴν τῶν Ἡρακλειδῶν τύχην ἔγραψε.*

ἔγωγε καὶ τοὺς δεξιοὺς καὶ σώφρονας
ἀπαρτὶ πλουτῆσαι ποιήσω.

ΒΛΕΨΙΔΗΜΟΣ (*surprised*).

τί σὺ λέγεις;
οὕτω πάνυ πολλὰ κέκλοφας;

ΧΡΕΜΥΛΟΣ (*angrily*).

οἴμοι τῶν κακῶν,
ἀπολεῖς ——

ΒΛΕΨΙΔΗΜΟΣ.

σὺ μὲν οὖν σεαυτόν, ὥς γ' ἐμοὶ δοκεῖς. 390

ΧΡΕΜΥΛΟΣ (*triumphantly*).

οὐ δῆτ', ἐπεὶ τὸν Πλοῦτον, ὦ μοχθηρὲ σύ,
ἔχω.

ΒΛΕΨΙΔΗΜΟΣ (*starting*).

σὺ Πλοῦτον; ποῖον;

ΧΡΕΜΥΛΟΣ.

αὐτὸν τὸν θεόν.

ΒΛΕΨΙΔΗΜΟΣ.

καὶ ποῦ 'στιν;

ΧΡΕΜΥΛΟΣ.

ἔνδον.

ΒΛΕΨΙΔΗΜΟΣ.

ποῦ;

ΧΡΕΜΥΛΟΣ (*pointing to his house*).

παρ' ἐμοί.

ΒΛΕΨΙΔΗΜΟΣ.

παρὰ σοί;

ΧΡΕΜΥΛΟΣ.

πάνυ.

ΒΛΕΨΙΔΗΜΟΣ (*incredulously*).

οὐκ ἐς κόρακας; Πλοῦτος *παρὰ σοί;*

ΧΡΕΜΥΛΟΣ.

νὴ τοὺς θεούς.

ΒΛΕΨΙΔΗΜΟΣ.

λέγεις ἀληθῆ;

ΧΡΕΜΥΛΟΣ.

φημί.

ΒΛΕΨΙΔΗΜΟΣ.

πρὸς τῆς Ἑστίας; 395

ΧΡΕΜΥΛΟΣ.

νὴ τὸν Ποσειδῶ.

ΒΛΕΨΙΔΗΜΟΣ.

τὸν θαλάττιον λέγεις;

ΧΡΕΜΥΛΟΣ.

εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, *τὸν ἕτερον.*

ΒΛΕΨΙΔΗΜΟΣ.

εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;

ΧΡΕΜΥΛΟΣ.

οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ.

ΒΛΕΨΙΔΗΜΟΣ.

τί φῄς;

394. **οὐκ ἐς κόρακας**: δηλονότι ἀπέλθῃς· ἤγουν εἰς ὄλεθρον. χάσμα γὰρ ἦν τι βαθὺ καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, τὸ βάραθρον καλούμενον, εἰς ὃ τοὺς κακούργους ἔβαλλον, ὑπὸ κοράκων ἀναλωθησομένους.

395. **Ἑστίας**: ἡ Ἑστία θυγάτηρ ἦν Κρόνου, καταρχὰς τὴν οἰκίαν εὑροῦσα, ἣν ἐντὸς τῶν οἴκων ἔγραφον, ἵνα τούτους συνέχῃ, καὶ τῶν οἰκούντων εἴη φύλαξ.

398. **διαπέμπεις**: τὸν Πλοῦτον δηλονότι.

ΧΡΕΜΥΛΟΣ.

ἐν τῷ μεταδοῦναι, μὰ Δία. δεῖ γὰρ πρῶτα ——

ΒΛΕΨΙΔΗΜΟΣ.

τί;

ΧΡΕΜΥΛΟΣ.

βλέψαι ποιῆσαι ——

ΒΛΕΨΙΔΗΜΟΣ.

νώ; τίνα βλέψαι; φράσον.

ΧΡΕΜΥΛΟΣ.

τὸν Πλοῦτον ὥσπερ πρότερον ἑνί γέ τῳ τρόπῳ.

ΒΛΕΨΙΔΗΜΟΣ.

τυφλὸς γὰρ ὄντως ἐστί;

ΧΡΕΜΥΛΟΣ.

νὴ τὸν οὐρανόν.

ΒΛΕΨΙΔΗΜΟΣ.

οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.

ΒΛΕΨΙΔΗΜΟΣ.

οὔκουν ἰατρὸν εἰσάγειν ἐχρῆν τινα;

ΧΡΕΜΥΛΟΣ.

τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
οὔτε γὰρ ὁ μισθὸς οὐδὲν ἔστ' οὔθ' ἡ τέχνη.

400. **μεταδοῦναι**: ἤγουν διαπέμπειν τὸν Πλοῦτον.

401. **νώ**: ἡμᾶς.

402. **ἑνί γέ τῳ τρόπῳ**: ἤγουν μιᾷ τινι μηχανῇ.

404. **ἐτός**: μάτην, ἀλόγως. — **ὡς**: εἰς.

407. **τίς δῆτ' ἰατρός κτέ.**: διαβάλλει τοὺς ἰατροὺς Ἀθηναίους ὡς ἀμαθεῖς, καὶ τοὺς θεραπευομένους ὡς φειδωλούς.

ΒΛΕΨΙΔΗΜΟΣ.

σκοπῶμε

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐκ ἔστιν.

ΒΛΕΨΙΔΗΜΟΣ.

οὐδ' ἐμοὶ δοκεῖ.

ΧΡΕΜΥΛΟΣ.

μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην 410
ἐγώ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ
κράτιστόν ἐστι.

ΒΛΕΨΙΔΗΜΟΣ.

πολὺ μὲν οὖν νὴ τοὺς θεούς.
μή νυν διάτριβ', ἀλλ' ἄνυε πράττων ἕν γέ τι.

ΧΡΕΜΥΛΟΣ (*starting off*).

καὶ μὴν βαδίζω.

ΒΛΕΨΙΔΗΜΟΣ.

σπεῦδέ νυν.

ΧΡΕΜΥΛΟΣ.

τοῦτ' αὐτὸ δρῶ.

CHREMYLUS *begins to run towards his house to fetch* PLUTUS, *but stops on seeing* POVERTY *enter.*

409. **οὐκ ἔστιν**: *ἰατρὸς δηλονότι.*
411. **εἰς Ἀσκληπιοῦ**: *τὸν ναὸν δηλονότι. καὶ ὁ Ἀσκληπιὸς υἱὸς ἦν τοῦ Ἀπόλλωνος καὶ θεὸς τῆς θεραπείας.*
412. **πολὺ μὲν οὖν**: *κράτιστόν ἐστι.*

SCENE 4.

POVERTY rushes in, filled with rage against CHREMYLUS; for she fears that the restoration of sight which he has promised to PLUTUS will eventually result in her expulsion from the country. On hearing who she is, BLEPSIDEMUS is greatly terrified, and wishes to flee; but CHREMYLUS holds his ground, confident that with the help of PLUTUS they can overcome her. He boldly makes the statement that by expelling her from the country they will be doing good to all mankind; POVERTY claims, on the contrary, to be herself the cause of all good to men. They agree to argue the question formally, the vanquished to be at the mercy of the conqueror.

Enter POVERTY, R., *raging with anger. The two men, seeing her coming, try to escape, but she calls them back.*

[METRE: *Iambic Trimeter.*]

CHREMYLUS. BLEPSIDEMUS. POVERTY. [CHORUS.]

ΠΕΝΙΑ (*calling after the two men, angrily*).

ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον
τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε,
ποῖ ποῖ; τί φεύγετον; οὐ μενεῖτον;

ΒΛΕΨΙΔΗΜΟΣ (*in terror*).

Ἡράκλεις.

ΠΕΝΙΑ (*as before*).

ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς·
τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετόν,
ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε
οὔτε θεὸς οὔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατον.

415. **θερμόν**: σπουδαῖον καὶ τολμηρόν.

ΧΡΕΜΥΛΟΣ (*summoning courage to return*).

σὺ δ' εἴ τίς, ὦ γραῦ; μαινὰς εἶναί μοι δοκεῖς.

ΒΛΕΨΙΔΗΜΟΣ (*following him*).

ἴσως Ἐρινύς ἐστιν ἐκ τραγῳδίας·
βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας.

ΒΛΕΨΙΔΗΜΟΣ (*with a show of boldness*).

οὐκοῦν κλαύσεται. 425

ΠΕΝΙΑ.

οἴεσθε δ' εἶναι τίνα με;

ΧΡΕΜΥΛΟΣ.

πανδοκεύτριαν,
ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.

ΠΕΝΙΑ.

ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον,
ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν; 430

424. **γέ τοι**: ἀντὶ τοῦ γάρ.

425. **δᾷδας**: εἰώθασιν οἱ τραγῳδοὶ τὰς Ἐρινύας εἰσάγειν μετὰ λαμπάδων, δεικνύντες τὸ θερμὸν τῶν καταρῶν. — **κλαύσεται**: ἀντὶ τοῦ οἰμώξεται, ὡς μὴ οὖσα κατὰ φύσιν φοβερά, ἀλλὰ μάτην ἀπατῶσα ἡμᾶς.

426. **πανδοκεύτριαν**: κάπηλιν, ξενοδόχον, παρὰ τὸ δέχεσθαι πάντας τοὺς ἐρχομένους.

427. **λεκιθόπωλιν**: ὀσπριόπωλιν. λέκιθος μὲν κυρίως τὸ ξανθὸν τοῦ ᾠοῦ· ἔστι δὲ καὶ εἶδος ὀσπρίου.

428. **ἐνέκραγες**: ἐλοιδόρεις, ὥσπερ οἱ κύνες ποιοῦσι.

429. **ἄληθες**: τοῦτο εἰρωνικόν. τὸ μὲν προπαροξύτονον ἄληθες ἀντὶ ἐπιρρήματος λαμβάνεται, ὡς κάνταῦθα· τὸ δ' ὀξύτονον ὄνομά ἐστι.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν ὑπόλοιπόν σοι τὸ βάραθρον γίγνεται;
ἀλλ' ἥτις εἶ λέγειν σ' ἐχρῆν αὐτίκα μάλα.

ΠΕΝΙΑ.

ἢ σφὼ ποιήσω τήμερον δοῦναι δίκην
ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.

ΒΛΕΨΙΔΗΜΟΣ.

ἆρ' ἐστὶν ἡ καπηλὶς ἡκ τῶν γειτόνων, 435
ἢ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;

ΠΕΝΙΑ.

Πενία μὲν οὖν, ἢ σφῷν ξυνοικῶ πόλλ' ἔτη.

ΒΛΕΨΙΔΗΜΟΣ (*running away, in terror*).

ἄναξ Ἄπολλον καὶ θεοί, ποῖ τις φύγῃ;

ΧΡΕΜΥΛΟΣ (*calling after him*).

οὗτος, τί δρᾷς; ὦ δειλότατον σὺ θηρίον,
οὐ παραμενεῖς;

ΒΛΕΨΙΔΗΜΟΣ (*without stopping*).

ἥκιστα πάντων.

ΧΡΕΜΥΛΟΣ (*as before*).

οὐ μενεῖς; 440
ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγωμεν μίαν;

431. **τὸ βάραθρον**: 394.
433. **ἥ**: *ἐκείνη εἰμὶ δηλονότι.*
435. **καπηλίς**: *οἰνοπώλις.* — **ἡκ τῶν γειτόνων**: *ἤτοι ἡ πλησίον οὖσα.*
436. **διαλυμαίνεται**: *ἐξαπατᾷ. ἐπεὶ οὐ πλήρεις τὰς κοτύλας μοι δίδωσιν, ἢ μετὰ ὕδατος μιγνύουσα. κοτύλη δὲ οὐ μόνον τὸ κοῖλον τῆς χειρὸς, ἀλλὰ καὶ εἶδος μέτρου.*

ΒΛΕΨΙΔΗΜΟΣ (*turning around to explain*).

Πενία γάρ ἐστιν, ὦ πονήρ', ἧς οὐδαμοῦ
οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον. (*Begins to run again.*)

ΧΡΕΜΥΛΟΣ (*calling after him*).

στῆθ', ἀντιβολῶ σε, στῆθι.

ΒΛΕΨΙΔΗΜΟΣ (*without stopping*).

μὰ Δί' ἐγὼ μὲν οὔ.

ΧΡΕΜΥΛΟΣ.

καὶ μὴν λέγω, δεινότατον ἔργον παρὰ πολὺ 445
ἔργων ἁπάντων ἐργασόμεθα, τὸν θεὸν
ἔρημον ἀπολιπόντες εἰ φευξούμεθα
τηνδὶ δεδιότες, μηδὲ διαμαχούμεθα.

ΒΛΕΨΙΔΗΜΟΣ (*stopping, and turning around to argue*).

ποίοις ὅπλοισιν ἢ δυνάμει πεποιθότες;
ποῖον γὰρ οὐ θώρακα, ποίαν δ' ἀσπίδα 450
οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;

ΧΡΕΜΥΛΟΣ.

θάρρει· μόνος γὰρ ὁ θεὸς οὗτος οἶδ' ὅτι
τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.

443. **ἐξωλέστερον**: μᾶλλον ἐξολέσαι δυνάμενον.

445. **παρὰ πολύ**: κατὰ πολύ, σφόδρα.

446. **τὸν θεόν**: τὸν Πλοῦτόν φησι.

448. **τηνδί**: τὴν Πενίαν.

451. **ἐνέχυρον**: ὑποθήκην, τὸ διδόμενόν τινι ὑπὲρ χρέους. τὰ δὲ ὅπλα ἐνέχυρα τιθέναι παρὰ τοὺς νόμους ἦν τοῖς Ἀθηναίοις.

453. **τροπαῖον**: ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν, τοῖχον ἢ λίθον μέγαν ἱστάντες, καὶ γράφοντες ἐν τούτῳ, ἃ κατὰ τῶν ἐχθρῶν ἔργα δεδράκασιν. ἐκαλεῖτο δὲ τροπαῖον διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι. — **τῶν ταύτης τρόπων**: τῶν κακῶν ἐθῶν, ἃ εἰς τοὺς ἔχοντας αὐτὴν ἐργάζεται.

ΠΕΝΙΑ.

γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω; 455

ΧΡΕΜΥΛΟΣ.

σὺ δ', ὦ κάκιστ' ἀπολουμένη, τί λοιδορεῖ
ἡμῖν προσελθοῦσ' οὐδ' ὁτιοῦν ἀδικουμένη;

ΠΕΝΙΑ.

οὐδὲν γάρ, ὦ πρὸς τῶν θεῶν, νομίζετε
ἀδικεῖν με τὸν Πλοῦτον ποιεῖν πειρωμένω
βλέψαι πάλιν;

ΧΡΕΜΥΛΟΣ.

τί οὖν ἀδικοῦμεν τοῦτό σε, 460
εἰ πᾶσιν ἀνθρώποις ἀγαθὰ πορίζομεν;

ΠΕΝΙΑ.

τί δ' ἄν ποθ' ὑμεῖς ἀγαθὸν ἐξεύροιθ';

ΧΡΕΜΥΛΟΣ.

ὅ τι;
σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.

ΠΕΝΙΑ.

ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετε
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώποις;

ΧΡΕΜΥΛΟΣ.

ὅ τι; 465

454. **γρύζειν**: 12. — **καθάρματε**: καθάρματος ἀντὶ τοῦ εὐτελέστατος, ἄξιος οὐδενός.

455. **ἐπ' αὐτοφώρῳ**: φανερῶς, ἐπ' αὐτῷ τῷ ἔργῳ· κυρίως δὲ ἐπὶ τῶν κλεπτῶν τοῦτο λέγεται· φὼρ γὰρ ὁ κλέπτης.

456. **λοιδορεῖ**: τὸ λοιδορεῖσθαι παθητικῶς δοτικῇ συντάττεται, ἐνεργητικῶς δὲ αἰτιατικῇ.

εἰ τοῦτο δρᾶν μέλλοντες ἐπιλαθοίμεθα.

ΠΕΝΙΑ.

καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή, 470
ποιεῖτον ἤδη τοῦθ' ὅ τι ἂν ὑμῖν δοκῇ.

ΧΡΕΜΥΛΟΣ.

ταυτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;

ΠΕΝΙΑ.

καὶ σύ γε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγώ,
εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους. 475

ΧΡΕΜΥΛΟΣ (*in a rage*).

ὦ τύμπαν', ὦ κύφωνες, οὐκ ἀρήξετε;

ΠΕΝΙΑ.

οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.

467. **σφῷν**: ὑμῖν.

468. **αὐτοῦ**: ἢ ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἐνταῦθα· ἢ σύναπτε τῷ τούτου, ἵν' ᾖ, περὶ αὐτοῦ τούτου, ἤγουν τοῦ ἐκβαλεῖν με. — **κἂν μὲν ἀποφήνω κτέ.**: τὸ σχῆμα καλεῖται ἀνανταπόδοτον· οὐ γὰρ ἀποδέδωκε τὴν σύνταξιν ἐνταῦθα· ἔδει γὰρ εἰπεῖν, κἂν μὲν ἀποφήνω κτέ., καλῶς ἔσται.

473. **διδάσκου**: μάνθανε τοῦτο ἐξ ἐμοῦ.

474. **ἁμαρτάνοντα**: ἔξω τῆς ἀληθείας λέγοντα.

476. **ὦ τύμπανα κτέ.**: τοῦτό φησιν, ὡς τῆς Πενίας τῶν τοιούτων ἀξίας οὔσης. κολαστήρια δ' ὄργανα ἀμφότερα τὰ τύμπανα καὶ οἱ κύφωνες. τὰ μὲν τύμπανα, ξύλα, δι' ὧν τοὺς κακούργους ἔτυπτον. κύφων δὲ ἦν ξύλον ὅμοιον ζυγῷ, ὃν ἐτίθεσαν κατὰ τῶν τραχήλων καὶ τῶν χειρῶν τῶν δικαζομένων, κλίνεσθαι αὐτοὺς παρασκευάζων. — **ἀρήξετε**: ἀρήγειν τὸ βοηθεῖν.

477. **σχετλιάζειν καὶ βοᾶν**: δεινοπαθεῖν καὶ κεκραγέναι.

ΧΡΕΜΥΛΟΣ.

καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν ἰοὺ ἰοὺ
τοιαῦτ' ἀκούων;

ΠΕΝΙΑ.

ὅστις ἐστὶν εὖ φρονῶν.

ΧΡΕΜΥΛΟΣ.

τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ, 480
ἐὰν ἁλῷς;

ΠΕΝΙΑ.

ὅ τι σοι δοκεῖ.

ΧΡΕΜΥΛΟΣ.

καλῶς λέγεις.

ΠΕΝΙΑ.

τὸ γὰρ αὔτ', ἐὰν ἡττᾶσθε, καὶ σφὼ δεῖ παθεῖν.

ΧΡΕΜΥΛΟΣ (*to* BLEPSIDEMUS).

ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;

ΒΛΕΨΙΔΗΜΟΣ (*pointing to* POVERTY).

ταύτῃ γε· νῷν δὲ δύ' ἀποχρήσουσιν μόνω.

ΠΕΝΙΑ.

οὐκ ἂν φθάνοιτε τοῦτο πράττοντες· τί γὰρ 485
ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;

480. **τίμημα**: *κόλασιν.* — **τῇ δίκῃ**: *τῇ κρίσει.*

481. **ἁλῷς**: *κρατηθῇς.*

484. **νῷν**: *ἡμῖν.* — **ἀποχρήσουσιν**: *ἀρκέσουσιν, ἀρκετοὶ γενήσονται.*

485. **οὐκ ἂν φθάνοιτε κτέ.**: *ἀντὶ τοῦ ταχέως ἀπελθόντες τελευτήσατε· τὸ δὲ τοῦτο πράττοντες ἀντὶ τοῦ ἀποθανόντες.*

SCENE 5.

After a few words of introduction by the Chorus, Chremylus and Poverty argue the case. The former urges that Plutus, if restored to sight, will visit all good men, and so all men will hasten to become good, and therefore rich; Poverty retorts that if all men are rich, none will work, and the very necessities of life will soon be lacking. Chremylus pictures the ills of poverty; his opponent argues that the only happy man is the thrifty poor man. Various illustrations are adduced on both sides; and Poverty is finally driven away, overcome rather by threats and clamor than by sound arguments.

[Metre: 487–597, *Anapaestic Tetrameter Catalectic;* 598–618, *System of Anapaestic Dimeters.*]

Chremylus. Poverty. Blepsidemus. Chorus.

ΧΟΡΟΣ.

ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν ᾧ νικήσετε τηνδὶ
ἐν τοῖσι λόγοις ἀντιλέγοντες· μαλακὸν δ' ἐνδώσετε μηδέν.

ΧΡΕΜΥΛΟΣ.

φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον, 490
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους τούτων τἀναντία δήπου.
τούτου δ' ἡμεῖς ἐπιθυμοῦντες μόλις εὕρομεν ὥστε γενέσθαι
βούλευμα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται κοὐκ ἀπολείψει, 495

488. **ἐνδώσετε**: *μαλακὸν ἐνδιδόναι τὸ εἴκειν, ὑποπίπτειν τινι.*

489. **φανερόν**: *σύναπτε πρὸς τὸ γνῶναι.*

490. **εὖ πράττειν**: *εὐτυχεῖν.*

494. **περινοστῇ**: *πλανᾶται.*

495. **ὡς**: *εἰς.*

τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα ποιήσει
πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου τά τε θεῖα σέβοντας.
καίτοι τούτου τοῖς ἀνθρώποις τί ἂν ἐξεύροι ποτ' ἄμεινον;

ΒΛΕΨΙΔΗΜΟΣ.

οὐδέν· ἐγώ σοι τούτου μάρτυς· μηδὲν ταύτην γ' ἀνερώτα.

ΧΡΕΜΥΛΟΣ.

ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται, 500
τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ' ἔτι μᾶλλον;
πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροί,
ἀδίκως πολλὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ
πράττουσι κακῶς καὶ πεινῶσιν μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.

ΒΛΕΨΙΔΗΜΟΣ.

οὔκουν εἶναί φημ', εἰ παύσει ταύτην βλέψας ποθ' ὁ Πλοῦτος, 505
ὁδὸν ἥντιν' ἰὼν τοῖς ἀνθρώποις ἀγάθ' ἂν μείζω πορίσειεν.

ΠΕΝΙΑ.

ἀλλ' ὦ πάντων ῥᾷστ' ἀνθρώπων ἀναπεισθέντ' οὐχ ὑγιαίνειν
δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν,
εἰ τοῦτο γένοιθ' ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσιτελεῖν σφῷν.
εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέν τ' ἴσον αὐτόν, 510

497. **τά τε θεῖα σέβοντας**: ἐναντίους τοῖς ἀθέοις (491, 496).

498. **τούτου**: ἤγουν τοῦ πάντας ἀγαθοὺς ποιῆσαι.

501. **κακοδαιμονίαν**: τὴν ἀπὸ τῶν θεῶν πεμφθεῖσαν μανίαν.

502. **ὄντες**: σύναπτε πρὸς τὸ πονηροί.

504. **πράττουσι κακῶς**: δυστυχοῦσι.

505. **ταύτην**: τὴν Πενίαν δηλονότι.

506. **πορίσειεν**: δῶσαι, παράσχοι.

507. **οὐχ ὑγιαίνειν**: φρένας δηλονότι· καὶ ἀντὶ τοῦ μαίνεσθαι.

508. **ξυνθιασώτα**: κοινωνοί, συγχορευταί, θίασος γὰρ ὁ χορός. — **παραπαίειν**: φρενῶν δηλονότι· ἤγουν μαίνεσθαι.

509. **λυσιτελεῖν σφῷν**: χρησίμως ἔχειν καὶ ὠφελεῖν ὑμῖν.

510. **διανείμειέν τ' ἴσον αὐτόν**: διαμερίσειε ἐξ ἴσου ἑαυτόν.

οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ' ἂν σοφίαν μελετῷη
οὐδείς· ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανισθέντοιν ἐθελήσει
τίς χαλκεύειν ἢ ναυπηγεῖν ἢ ῥάπτειν ἢ τροχοποιεῖν
ἢ σκυτοτομεῖν ἢ πλινθουργεῖν ἢ πλύνειν ἢ σκυλοδεψεῖν
ἢ γῆς ἀρότροις ῥήξας δάπεδον καρπὸν Δηοῦς θερίσασθαι, 515
ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;

ΧΡΕΜΥΛΟΣ.

λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ' ὅσα νῦν δὴ κατέλεξας
οἱ θεράποντες μοχθήσουσιν.

ΠΕΝΙΑ.

πόθεν οὖν ἕξεις θεράποντας;

ΧΡΕΜΥΛΟΣ.

ὠνησόμεθ' ἀργυρίου δήπου.

ΠΕΝΙΑ.

τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ;

ΧΡΕΜΥΛΟΣ.

κερδαίνειν βουλόμενός τις 520

511. **τέχνην, σοφίαν**: σοφίαν ἐνταῦθα καλεῖ τὴν περὶ τὰς τέχνας πανουργίαν καὶ μηχανήν, τέχνην δὲ τὴν μεταχείρησιν αὐτὴν καὶ ἐνέργειαν.

512. **ἀμφοῖν**: τῆς σοφίας καὶ τῆς τέχνης. τὸ δὲ ἐξῇς, τίς ἐθελήσει.

513. **χαλκεύειν**: χαλκεὺς εἶναι, ὁ τὸν χαλκὸν ἐργαζόμενος. — **ναυπηγεῖν**: ναυπηγὸς εἶναι. — **τροχοποιεῖν**: τροχοὺς ἁμάξης ποιεῖν.

514. **σκυτοτομεῖν**: σκυτοτόμος εἶναι· ἤγουν τὰ ὑποδήματα κατασκευάζειν. — **πλινθουργεῖν**: πλίνθους ποιεῖν. — **πλύνειν**: κῴδια δηλονότι (166). — **σκυλοδεψεῖν**: βυρσοδεψεῖν (167).

515. **ἢ γῆς ἀρότροις κτέ.**: ἤγουν δι' ἀρότρου τεμὼν τὴν ἐπιφάνειαν τῆς γῆς· ταῦτα δὲ τραγικῶς. — **καρπὸν Δηοῦς θερίσασθαι**: ἀντὶ τοῦ γεωργίας ἐπιμελεῖσθαι. καρπὸν οὖν Δηοῦς τὸν σῖτον λέγει· Δηὼ γὰρ ἡ Δημήτηρ.

517. **λῆρον ληρεῖς**: φλυαρεῖς· καὶ τὸ σχῆμα, ὡς τὸ μανίαν μαίνῃ, ὕβριν ὑβρίζεις.

518. **οἱ θεράποντες μοχθήσουσιν**: οἱ δοῦλοι μετὰ μόχθου (πόνου) ἐργάσονται.

ἔμπορος ἥκων ἐκ Θετταλίας παρά τ' ἄλλων ἀνδραποδιστῶν.

ΠΕΝΙΑ.

ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ' ἀνδραποδιστὴς
κατὰ τὸν λόγον ὃν σὺ λέγεις δήπου. τίς γὰρ πλουτῶν ἐθελήσει
κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ τοῦτο ποιῆσαι;
ὥστ' αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς καὶ σκάπτειν τἄλλα τε μοχθεῖν 525
ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.

ΧΡΕΜΤΛΟΣ.

ἐς κεφαλὴν σοί.

ΠΕΝΙΑ.

ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται·
οὔτ' ἐν δάπισιν· τίς γὰρ ὑφαίνειν ἐθελήσει χρυσίου ὄντος;
οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον·
οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων. 530
καίτοι τί πλέον πλουτεῖν ἔσται τούτων πάντων ἀποροῦντι;
παρ' ἐμοῦ δ' ἔστιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν ὧν δεῖσθον· ἐγὼ γὰρ
τὸν χειροτέχνην ὥσπερ δέσποιν' ἐπαναγκάζουσα κάθημαι
διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον ἕξει.

521. **ἔμπορος**: ὁ πραγματευτικὸς ἀνήρ· κυρίως δὲ ὁ πλέων θάλατταν, παρὰ τὸ πόρος, τουτέστι τὴν θάλατταν. — **ἐκ Θετταλίας**: διαβάλλονται οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ αἰσχροκερδεῖς. — **ἀνδραποδιστῶν**: ἀνδραποδιστὴς παρὰ τὸ ἄνδρας ἀποδόσθαι, τουτέστι πωλεῖν.

524. **περὶ τῆς ψυχῆς**: ψυχὴ ἡ ζωή. — **τοῦτο**: ἤγουν ἀνδραποδίζειν.

525. **ἀροῦν**: ἀρόω τὸ ὀρύττω, ἐργάζομαι τὴν γῆν.

526. **ὀδυνηρότερον**: μοχθηρότερον· καὶ σύναπτε πρὸς τὸ πολύ. — **ἐς κεφαλὴν σοί**: ἔμπεσοι, τρέποιτο δηλονότι.

527. **ἕξεις**: ἔχω ἀντὶ τοῦ δύναμαι. — **καταδαρθεῖν**: καθεύδειν. — **ἔσονται**: κλῖναι δηλονότι.

529. **στακτοῖς**: ὑγροῖς. — **ἀγάγησθον**: ἤγουν εἰς τὸν οἶκον.

530. **ἱματίων βαπτῶν δαπάναις**: ἀντὶ τοῦ ἱματίοις βαπτοῖς δαπανηροῖς. — **κοσμῆσαι**: τὴν νύμφην δηλονότι. — **ποικιλομόρφων**: διαφόροις χρώμασι πεποικιλμένων.

531. **καίτοι τί πλέον κτέ.**: τίς χρεία ἐστὶ τοῦ πλουτεῖν, ὅτε ἀπορεῖ τις ὧν χρῄζει.

533. **τὸν χειροτέχνην**: τὸν διὰ τῶν χειρῶν ἐργαζόμενον.

ΧΡΕΜΥΛΟΣ.

σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθόν, πλὴν φῴδων ἐκ βαλανείου 535
καὶ παιδαρίων ὑποπεινώντων καὶ γραϊδίων κολοσυρτοῦ;
φθειρῶν δ' ἀριθμὸν καὶ κωνώπων καὶ ψυλλῶν οὐδὲ λέγω σοι
ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις, ἀλλ' ἐπανίστω.
πρὸς δέ γε τουτοις ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος· ἀντὶ δὲ κλίνης 540
στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας ἐγείρει·
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀντὶ δὲ προσκεφαλαίου,
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ' ἀντὶ μὲν ἄρτων
μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχνὰ ῥαφανίδων·
ἀντὶ δὲ θράνου στάμνου κεφαλὴν κατεαγότος, ἀντὶ δὲ μάκτρας 545

535. **φῴδων**: φῴδές εἰσι τὰ ἐκ πυρὸς ἐν σώματι γιγνόμενα ἐκφυσήματα. — **ἐκ βαλανείου**: διὰ τὸ τοὺς πένητας, μὴ ἔχοντας ἐνδύματα, διὰ τὸ ψῦχος ἐν βαλανείοις καθεύδειν, καὶ ἐκ θέρμης ἢ ἀέρος αὐτοὺς ἐξιόντας παραχρῆμα προσβαλόντος φῴδας ποιεῖν.

536. **κολοσυρτοῦ**: θορύβου, ὄχλου.

537. **φθειρῶν**: φθεὶρ θηρίδιόν ἐστι μικρὸν ὃ διατρίβει συνήθως ἐν τοῖς θριξὶ τῶν παίδων καὶ τῶν ῥυπαρῶν ἀνθρώπων. — **κωνώπων**: κώνωψ εἶδος ἐντόμου πτερωτοῦ ὃ δάκνει διὰ τῆς προβοσκίδος. — **ψυλλῶν**: ψυλλὸς ἄπτερόν τι ζῴδιον πηδητικοὺς πόδας ἔχον. — **λέγω**: σύναπτε πρὸς τὸ ἀριθμόν.

538. **βομβοῦσαι**: ἠχοῦσαι, βοῶσαι. — **ἀνιῶσιν**: λυποῦσιν.

539. **πεινήσεις**: ἐὰν καθεύδῃ, δηλονότι. — **ἐπανίστω**: ἐγείρου.

540. **ἔχειν**: σύναπτε πρὸς τὸ πορίσαι — πλήν (535), ὡς καὶ τὸ ἔχειν (542) καὶ τὸ σιτεῖσθαι (543). — **ῥάκος**: διερρηγμένον χιτῶνα.

541. **στιβάδα**: στρωμνήν. — **σχοίνων**: σχοῖνος εἶδός ἐστι φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος. καὶ τοῦτο σύναπτε πρὸς τὸ στιβάδα. — **μεστήν**: πεπληρωμένην. — **κόρεων**: κόρις ἄπτερόν τι ζῴδιον δάκνων ἐν ταῖς κλίναις τοὺς ἀνθρώπους.

542. **φορμόν**: πᾶν πλεκτόν, ἐνταῦθα δὲ τὸ ψιάθιον. — **σαπρόν**: παλαιόν, κακὴν ὀσμὴν ἔχοντα.

543. **σιτεῖσθαι**: ἐσθίειν.

544. **πτόρθους**: τὰς ἐκφύσεις τῶν δένδρων. — **μάζης**: 192. — **ἰσχνά**: ξηρά. — **ῥαφανίδων**: ῥαφανὶς εἶδος λαχάνου.

545. **θράνου**: θρόνου. — **στάμνου**: στάμνος ὁ ἀμφορεύς. — **κεφαλήν**: ἔχειν δηλονότι (540). — **κατεαγότος**: κατάγνυμι τὸ ῥήγνυμι. — **μάκτρας**: παρὰ τὸ μάττω· ἡ σκάφη ὅπου ἔματτον τὰ ἄλευρα.

φιδάκνης πλευρὰν ἐρρωγυῖαν καὶ ταύτην. ἆρά γε πολλῶν
ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἴτιον οὖσαν;

ΠΕΝΙΑ.

σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ' ἐπεκρούσω.

ΧΡΕΜΤΛΟΣ.

οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν.

ΠΕΝΙΑ.

ὑμεῖς γ' οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον. 550
ἀλλ' οὐχ οὑμὸς τοῦτο πέπονθεν βίος οὐ μὰ Δί', οὐδέ γε μέλλει.
πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστιν μηδὲν ἔχοντα·
τοῦ δὲ πένητος ζῆν φειδόμενον καὶ τοῖς ἔργοις προσέχοντα,
περιγίγνεσθαι δ' αὐτῷ μηδέν, μὴ μέντοι μηδ' ἐπιλείπειν.

ΧΡΕΜΤΛΟΣ.

ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας, 555

546. **φιδάκνης**: *φιδάκνη οἰνοφορεῖόν τι μικρὸν κεράμου.* — **ἐρρωγυῖαν**: *ἀπὸ τοῦ ῥήγνυμι.* — **ἆρά γε κτέ.**: *ταῦτα εἰρωνικῶς.*

548. **ἐπεκρούσω**: *ἐδήλωσας, ἐφθέγξω.*

549. **πτωχείας**: *διενήνοχε πτωχὸς πένητος, ὅτι ὁ μὲν πένης παρὰ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν, εἴρηται, καὶ ἐκ τούτου πορίζεσθαι τὰ χρειώδη· ὁ δὲ πτωχός, παρὰ τὸ πτώσσειν, τουτέστι ἐπαιτεῖν, πάντας. καὶ ἡ μὲν πενία μεμετρημένη ἐστὶν ἔνδεια, ἡ δὲ πτωχεία παντελὴς τῆς κτήσεως ἔκπτωσις.*

550. **οἵπερ**: *φατὲ δηλονότι.* — **Θρασυβούλῳ Διονύσιον**: *ὁ μὲν Διονύσιος ἦν Σικελίας τύραννος ὠμός· ὁ δὲ Θρασύβουλος ἀνὴρ χρηστὸς Ἀθηναῖος· ὁρῶν οὖν τὴν αὐτοῦ πόλιν ὑπὸ τῶν τριάκοντα τυράννων, οὓς ἔστησαν οἱ Λακεδαιμόνιοι, τυραννουμένην, μετά τινων ἄλλων κατέλυσε τὴν τυραννίδα καὶ τοὺς τυράννους ἀπέκτεινεν· ἤδετο οὖν παρὰ πάντων ὡς Ἀθηναίων εὐεργέτης.*

554. **περιγίγνεσθαι**: *περιγίγνεσθαι σημαίνει καὶ τὸ νικᾷν καὶ τὸ περιττεύειν, ὡς ἐνταῦθα.* — **ἐπιλείπειν**: *στερεῖσθαι.*

555. **μακαρίτην**: *ἀντὶ τοῦ μακάριον· εἰ μὴ ἄρα παίζει, οἷον νεκροῦ βίον· τὸ γὰρ μακάριος καὶ τὸ μακαριστὸς ἐπὶ ζώντων καὶ ἀποθανόντων, τὸ δὲ μακαρίτης ἐπὶ τῶν ἀποθανόντων μόνον.* — **Δάματερ**: *εἰκότως πρὸς τὴν γῆν ποιεῖται τὸν λόγον, ὡς γεωργός.*

εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μηδὲ ταφῆναι.

ΠΕΝΙΑ.

σκώπτειν πειρᾷ καὶ κωμῳδεῖν τοῦ σπουδάζειν ἀμελήσας,
οὐ γιγνώσκων ὅτι τοῦ Πλούτου παρέχω βελτίονας ἄνδρας
καὶ τὴν γνώμην καὶ τὴν ἰδέαν. παρὰ τῷ μὲν γὰρ ποδαγρῶντες
καὶ γαστρώδεις καὶ παχύκνημοι καὶ πίονές εἰσιν ἀσελγῶς, 560
παρ' ἐμοὶ δ' ἰσχνοὶ καὶ σφηκώδεις καὶ τοῖς ἐχθροῖς ἀνιαροί.

ΧΡΕΜΥΛΟΣ.

ἀπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.

ΠΕΝΙΑ.

περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν κἀναδιδάξω
ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ, τοῦ Πλούτου δ' ἐστὶν ὑβρίζειν.

ΧΡΕΜΥΛΟΣ.

πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν καὶ τοὺς τοίχους διορύττειν. 565

ΒΛΕΨΙΔΗΜΟΣ.

[νὴ τὸν Δί', εἰ δεῖ λαθεῖν αὐτόν, πῶς οὐχὶ κόσμιόν ἐστι;]

557. **σπουδάζειν**: τὰ σπουδαῖα λέγειν.

559. **γνώμην**: τὴν φρόνησιν. — **ἰδέαν**: τὴν μορφήν, τὸ εἶδος. — **τῷ**: τῷ Πλούτῳ δηλονότι. — **ποδαγρῶντες**: γράφεται καὶ ποδαλγοῦντες (πούς, ἄλγος)· οἱ ἐν τοῖς ποσὶ πόνους ἔχοντες.

560. **γαστρώδεις κτέ.**: ὑπὸ ἀργίας μεγάλοι γίγνονται καὶ παχεῖς τὰ σώματα. — **παχύκνημοι**: τὸ σκέλος τοῦ ἀνθρώπου τρία μέρη ἔχει· πόδα, κνήμην, καὶ μηρόν. — **ἀσελγῶς**: αἰσχρῶς, λίαν, ἀτόπως.

561. **ἰσχνοί**: λεπτοί, ἄσαρκοι. — **σφηκώδεις**: λεπτοὶ κατὰ τὸ μέσον, ὡς σφῆκες. — **ἀνιαροί**: λυπηροί, λύπην ἐπάγοντες τοῖς ἐχθροῖς· ὁ γὰρ ταῖς σαρξὶ μὴ βαρυνόμενος, ἀλλὰ κούφως ἔχων τοῦ σώματος, ῥᾷστ' ἂν καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιπαρατάξαιτο. τοιοῦτοι δὲ οἱ πένητες διὰ τὸ μὴ εὐσαρκεῖν ἀπορίᾳ τροφῶν.

563. **περανῶ**: τελειῶ, τὸν λόγον δηλονότι.

564. **κοσμιότης**: εὐταξία καὶ σεμνότης. — **ὑβρίζειν**: αἰσχρὰ πράττειν.

565. **γοῦν**: εἰρωνικῶς, ἐπεὶ οἱ πένητες κλέπτουσι διὰ τὴν ἀπορίαν.

ΠΕΝΙΑ.

σκέψαι τοίνυν ἐν ταῖς πόλεσιν τοὺς ῥήτορας, ὡς ὁπόταν μὲν
ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι,
πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν παραχρῆμ' ἄδικοι γεγένηνται,
ἐπιβουλεύουσί τε τῷ πλήθει καὶ τῷ δήμῳ πολεμοῦσιν. 570

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδέν, καίπερ σφόδρα βάσκανος οὖσα.
ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει, μηδὲν ταύτῃ γε κομήσῃς,
ὁτιὴ ζητεῖς τοῦτ' ἀναπείθειν ἡμᾶς, ὡς ἔστιν ἀμείνων
πενία πλούτου.

ΠΕΝΙΑ.

καὶ σύ γ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου,
ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις.

ΧΡΕΜΥΛΟΣ.

καὶ πῶς φεύγουσί σ' ἅπαντες; 575

ΠΕΝΙΑ.

ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μάλιστα
ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριστα
αὐτοῖς. οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ δίκαιον.

ΧΡΕΜΥΛΟΣ.

τὸν Δία φήσεις ἄρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον·

569. **τῶν κοινῶν**: τῶν χρημάτων τοῦ δήμου.

570. **ἐπιβουλεύουσι**: δῶρα γὰρ λαμβάνοντες παρὰ τῶν πολεμίων ἀσύμφορα τῇ πόλει συμβουλεύουσιν, οὐκ ἐῶντες αὐτὴν τούτους ἀμύνασθαι.

571. **βάσκανος**: ἐχθρά.

572. **κλαύσει**: σύναπτε πρὸς τὸ ὁτιὴ ζητεῖς κτέ. ὅμως, φησίν, εἰ καὶ ἀληθεύεις, μὴ μέγα φρονήσῃς· οὐδὲν γὰρ ἧττον τὰ αὐτὰ πείσῃ. κομήσῃς δὲ ἀντὶ τοῦ ὑπερηφανήσῃς (170). — **ταύτῃ**: ἀπὸ τούτου.

575. **πτερυγίζεις**: κοῦφα καὶ μάταια λέγεις· ἡ δὲ μεταφορὰ τῶν ὀρνέων τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὴν νεότητα.

578. **διαγιγνώσκειν**: σύναπτε πρὸς τὸ δίκαιον.

579. **κράτιστον**: λυσιτελές.

κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει.

ΒΛΕΨΙΔΗΜΟΣ (*pointing to* Poverty).

ταύτην δ' ἡμῖν ἀποπέμπει. 580

ΠΕΝΙΑ.

ἀλλ' ὦ Κρονικαῖς λήμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω,
ὁ Ζεὺς δήπου πένεται, καὶ τοῦτ' ἤδη φανερῶς σε διδάξω.
εἰ γὰρ ἐπλούτει, πῶς ἂν ποιῶν τὸν Ὀλυμπικὸν αὐτὸς ἀγῶνα,
[ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρει,]
ἀνεκήρυττεν τῶν ἀσκητῶν τοὺς νικῶντας στεφανώσας 585
κοτινῷ στεφάνῳ; καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.

ΧΡΕΜΥΛΟΣ.

οὐκοῦν τούτῳ δήπου δῆλος τιμῶν τὸν πλοῦτον ἐκεῖνος·
φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,
λήροις ἀναδῶν τοὺς νικῶντας τὸν πλοῦτον ἐᾷ παρ' ἑαυτῷ.

ΠΕΝΙΑ.

πολὺ τῆς πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι, 590
εἰ πλούσιος ὢν ἀνελεύθερός ἐσθ' οὕτωσὶ καὶ φιλοκερδής.

ΧΡΕΜΥΛΟΣ.

ἀλλὰ σέ γ' ὁ Ζεὺς ἐξολέσειεν κοτινῷ στεφάνῳ στεφανώσας.

581. **Κρονικαῖς λήμαις κτέ.**: ἤγουν, ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν. ὁ Κρόνος γὰρ πατὴρ ἦν τοῦ Διός. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. τοῦτο δὲ διὰ τὸ εἶναι αὐτοὺς γέροντάς φησι. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὂν λήμας μεγάλας ποιεῖ.

585. **τῶν ἀσκητῶν**: τῶν ἀθλητῶν.

586. **κοτινῷ**: ἐξ ἀγρίας ἐλαίας πεποιημένῳ.

587. **τουτῷ**: ἤγουν διὰ τὸ κοτινῷ στεφάνῳ στεφανοῦν τοὺς ἀθλητάς.

589. **λήροις**: φλυαρίαις, φαύλοις πράγμασιν. τὸ δὲ ἀναδεῖν (δέω) ταὐτόν ἐστιν ἐνταῦθα τῷ στεφανοῦν. — **παρ' ἑαυτῷ**: κεῖσθαι δηλονότι.

590. **περιάψαι**: ἴσον ἐστὶ τῷ προσάψαι.

ΠΕΝΙΑ.

τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς ὡς οὐ πάντ' ἔστ' ἀγάθ' ὑμῖν
διὰ τὴν Πενίαν.

ΧΡΕΜΥΛΟΣ.

παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι,
εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὕτη 595
τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν,
τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι.
ἀλλὰ φθείρου καὶ μὴ γρύξῃς
ἔτι μηδ' ὁτιοῦν.
οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς. 600

ΠΕΝΙΑ.

ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει.

ΧΡΕΜΥΛΟΣ.

Παύσωνα κάλει τὸν ξύσσιτον.

ΠΕΝΙΑ.

τί πάθω τλήμων;

ΧΡΕΜΥΛΟΣ.

ἔρρ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.

593. **τὸ γὰρ ἀντιλέγειν κτέ.**: λείπει φανερῶς ἐνταῦθα ἔννοιά τις τοιαύτη, οὐχὶ δεινόν, ἢ τοιοῦτόν τι.

594. **παρὰ τῆς Ἑκάτης**: κατὰ νουμηνίαν οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας, ὡς θυσίαν, τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις· οἱ δὲ πένητες ἤρχοντο πεινῶντες, καὶ ἤσθιον αὐτά, καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά.

596. **δεῖπνον**: ἐξ ᾠῶν καὶ τυροῦ πεποιημένον.

598. **φθείρου**: μετὰ φθορᾶς ἀπέρχου. — **μὴ γρύξῃς**: μὴ φθέγγῃ· κυρίως δὲ γρύζειν ἐστὶ τὸ τοὺς μικροὺς χοίρους φωνὴν προΐεσθαι (12).

601. **ὦ πόλις Ἄργους**: ἐκ τοῦ Τηλέφου τοῦ Εὐριπίδου. — **κλύεθ' οἷα λέγει**: ἐκ τῆς Μηδείας τοῦ Εὐριπίδου.

602. **Παύσωνα**: οὗτος ζωγράφος ὢν πάνυ πτωχὸς ἦν· καὶ παροίμιον ἦν, Παύσωνος πτωχότερος. — **τὸν ξύσσιτον**: τὸν σύντροφον τὸν σόν.

604. **ἔρρ' ἐς κόρακας**: 394. — **θᾶττον**: ἤγουν πάνυ ταχέως.

ΠΕΝΙΑ.

εἶμι δὲ ποῖ γῆς; 605

ΧΡΕΜΤΛΟΣ.

ἐς τὸν κύφων'· ἀλλ' οὐ μέλλειν
χρή σ', ἀλλ' ἀνύειν.

ΠΕΝΙΑ.

ἢ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθοῖ
μεταπέμψεσθον.

ΧΡΕΜΤΛΟΣ.

τότε νοστήσεις· νῦν δὲ φθείρου. 610
κρεῖττον γάρ μοι πλουτεῖν ἐστίν,
σὲ δ' ἐὰν κλάειν μακρὰ τὴν κεφαλήν.

ΒΛΕΨΙΔΗΜΟΣ.

νὴ Δί' ἐγὼ γοῦν ἐθέλω πλουτῶν
εὐωχεῖσθαι μετὰ τῶν παίδων
τῆς τε γύναικός, καὶ λουσάμενος 615
λιπαρὸς χωρῶν ἐκ βαλανείου
τῶν χειροτεχνῶν
καὶ τῆς Πενίας καταπαρδεῖν. *Exit* Poverty, r.

606. **κύφωνα**: 476.

607. **ἀνύειν**: ἀνύω τὸ τελειῶ· καὶ ἀνύω τὴν ὁδόν, ἤτοι σπουδαίως βαδίζω. τινὲς μετὰ τοῦ τ, ἀνύτειν· πλεονάζουσιν γὰρ οἱ Ἀττικοὶ τὸ τ.

608. **ἢ μήν**: ὄντως δέ.

610. **τότε**: ἤγουν ὅτε μεταπεμψόμεθά σε.

612. **τὴν κεφαλήν**: ἢ λείπει τὸ τύπτουσαν, αἱ γὰρ γυναῖκες ὅταν κλάωσι τὰς αὐτῶν κεφαλὰς τύπτουσιν· ἢ σύναπτε πρὸς τὸ κλάειν, ἀντὶ τοῦ σεαυτήν.

614. **εὐωχεῖσθαι**: εὐφραίνεσθαι ὁμοῦ.

616. **λιπαρός**: ἦν γὰρ τοῖς παλαιοῖς μετὰ τὸ λελοῦσθαι ἐλαίῳ δι' ὅλου τοῦ σώματος ἀλείφεσθαι.

617. **τῶν χειροτεχνῶν**: ἤγουν τῶν πενήτων, τῶν πτωχῶν.

618. **καταπαρδεῖν**: ἀντὶ τοῦ καταγελᾶν, καταφρονεῖν.

SCENE 6.

CHREMYLUS and BLEPSIDEMUS prepare to carry out their plan of taking PLUTUS to the temple of Aesculapius.

[METRE: *Iambic Trimeter.*]

CHREMYLUS. BLEPSIDEMUS. [CHORUS.]

ΧΡΕΜΥΛΟΣ (*looking after* POVERTY).

αὕτη μὲν ἡμῖν ἡπίτριπτος οἴχεται.
(*Turning to* BLEPSIDEMUS.) *ἐγὼ δὲ καὶ σύ γ' ὡς τάχιστα τὸν θεὸν* 620
ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.

ΒΛΕΨΙΔΗΜΟΣ.

καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.

ΧΡΕΜΥΛΟΣ (*calling to* CARIO, *within*).

παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν σ' ἐχρῆν,
αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται, 625
καὶ τἄλλ' ὅσ' ἐστὶν ἔνδον εὐτρεπισμένα.

Exeunt CHREMYLUS *and* BLEPSIDEMUS, R., *to the temple of Aesculapius, leaving* CARIO *to follow with* PLUTUS.

The interval between this and the next scene was filled by a dance, or a song, by the CHORUS.

619. **ἡπίτριπτος**: *ἡ ἀξία ἀπωλείας* (275). — **οἴχεται**: *σύναπτε πρὸς τὸ ἡμῖν.*

620. **τὸν θεόν**: *τὸν* Πλοῦτον.

621. **ἐγκατακλινοῦντε**: *καταθήσοντε.* — **εἰς Ἀσκληπιοῦ**: *τὸν ναὸν δηλονότι.*

623. **διακωλύσῃ**: *ἐμποδίσῃ.* — **τῶν προὔργου**: *τῶν πρὸ τοῦ ἔργου, ἤγουν τῶν σπουδαίων, τῶν ἀναγκαίων.*

624. **παῖ**: *δοῦλε.*

625. **ὡς νομίζεται**: *ὡς νόμιμόν ἐστιν ὁδηγεῖν τὸν τυφλόν.*

626. **τἄλλα**: *ἐκφέρειν ἐχρῆν δηλονότι.* — **εὐτρεπισμένα**: *ἤγουν τὰ πρὸς τὴν θυσίαν τοῦ Ἀσκληπιοῦ.*

ACT III.

SCENE I.

A night is supposed to have elapsed since the last Act. Cario enters and announces to the Chorus that Plutus has been cured of his blindness by Aesculapius. They receive the news with shouts of joy.

Enter Cario, r.

[METRE: *Iambic Trimeter. Verses* 637, 639, *and* 640 *are Dochmiacs.*]

CARIO. CHORUS.

ΚΑΡΙΩΝ.

ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι
γέροντες ἄνδρες ἐπ' ὀλιγίστοις ἀλφίτοις,
ὡς εὐτυχεῖθ', ὡς μακαρίως πεπράγατε,
ἄλλοι θ' ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου. 630

ΧΟΡΟΣ.

τί δ' ἔστιν, ὦ βέλτιστε τῶν σαυτοῦ φίλων;
φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.

ΚΑΡΙΩΝ.

ὁ δεσπότης πέπραγεν εὐτυχέστατα,
μᾶλλον δ' ὁ Πλοῦτος αὐτός· ἀντὶ γὰρ τυφλοῦ
ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας, 635
Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.

ΧΟΡΟΣ.

λέγεις μοι χαράν, λέγεις μοι βοάν.

627. **πλεῖστα**: ἀντὶ τοῦ πολλάκις. — **Θησείοις**: τὰ Θησεῖα ἑορτὴ ἦν παρὰ τοῖς Ἀθηναίοις τῷ Θησεῖ, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικήν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην. — **μεμυστιλημένοι**: ὁ κοῖλος ἄρτος μυστίλη καλεῖται, ὃν ἐποίουν ἵνα ζωμὸν ἐν αὐτῷ ῥοφῶσι. τὸ δὲ μυστιλάομαι τὸ διὰ μυστίλης ζωμὸν ἐσθίω.

628. **ἐπί**: ἀντὶ τοῦ μετά. — **ἀλφίτοις**: 219.

629. **μακαρίως πεπράγατε**: τὸ μακαρίως πράττω ἀντὶ τοῦ μακάριος γίγνομαι.

630. **τρόπου**: ἤθεος, χαρακτῆρος. καὶ μετουσία ἐστὶν ἤ τί ἐστι δηλονότι.

631. **τῶν σαυτοῦ φίλων**: παρὰ προσδοκίαν· ἤγουν τῶν ὁμοίων σοι κακούργων.

633. **πέπραγεν εὐτυχέστατα**: εὐτυχέστατος γέγονε.

635. ἐκ τοῦ Φινέως τοῦ Σοφοκλέους ὁ στίχος, δέον εἰπεῖν ἀνέβλεψε καὶ λαμπροὺς ἔσχε τοὺς ὀφθαλμούς.

636. **παιῶνος**: παιὼν ὁ ἰατρὸς καὶ θεραπευτὴς τῶν νοσημάτων.

637. **χαράν**: ἀντὶ τοῦ χαίρειν. — **βοάν**: ὑφ' ἡδονῆς δηλονότι.

ΚΑΡΙΩΝ.

πάρεστι χαίρειν, ἤν τε βούλησθ' ἤν τε μή.

ΧΟΡΟΣ.

ἀναβοάσομαι τὸν εὔπαιδα καὶ
μέγα βροτοῖσι φέγγος Ἀσκληπιόν. 640

SCENE 2.

Hearing the shouts, the Wife of Chremylus enters, and asks the reason of the disturbance. Cario gives an amusing description of the restoration of sight to Plutus. He announces that the god, with a crowd of excited followers, will soon be present; and all make preparations to receive him worthily.

Enter Wife of Chremylus, *from the house.*

[Metre: *Iambic Trimeter.*]

Cario. Wife of Chremylus. [Chorus.]

ΓΥΝΗ.

τίς ἡ βοή ποτ' ἐστίν; ἆρ' ἀγγέλλεται
χρηστόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι
ἔνδον κάθημαι περιμένουσα τουτονί.

639. **τὸν εὔπαιδα**: τὸν καλοὺς παῖδας ἔχοντα. πολλοὶ γὰρ παῖδες τοῦ Ἀσκληπιοῦ, Ἰασῶ, Πανάκεια, Ὑγίεια κτέ. ἀναπέπλασται δὲ τὰ ὀνόματα παρὰ τὸ ἰᾶσθαι καὶ πάντα ἀκεῖσθαι καὶ παρὰ τὸ ὑγίειαν παρέχειν.

640. **φέγγος**: ἀντὶ τοῦ φῶς, ἤγουν σωτηρίαν.

642. **χρηστόν**: ἀγαθόν, εὐτυχές τι.—**τοῦτο**: τὸ ἀκοῦσαι ἀγγελίαν ἀγαθήν.

643. **τουτονί**: τὸν Καρίωνα.

ΚΑΡΙΩΝ.

ταχέως, ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
καὐτὴ πίῃς· (aside) φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα· 645
(aloud) ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.

ΓΥΝΗ.

καὶ ποῦ 'στιν;

ΚΑΡΙΩΝ.

ἐν τοῖς λεγομένοις· εἴσει τάχα.

ΓΥΝΗ.

πέραινε τοίνυν ὅ τι λέγεις ἀνύσας ποτέ.

ΚΑΡΙΩΝ.

ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ. 650

ΓΥΝΗ (*starting, in fear*).

μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν.

ΚΑΡΙΩΝ.

μὴ τἀγαθὰ
ἃ νῦν γεγένηται;

ΓΥΝΗ.

μὴ μὲν οὖν τὰ πράγματα.

645. **δρῶσα**: ἀντὶ τοῦ δρᾶν, τουτέστι πίνειν. καὶ διαβάλλει αὐτὴν ὡς φιλοῦσαν τὸν οἶνον.

646. **συλλήβδην**: ὁμοῦ.

647. **καὶ ποῦ 'στιν**: τὰ ἀγαθὰ δηλονότι. — **τοῖς λεγομένοις**: τοῖς ἐμοῖς λόγοις. — **εἴσει**: γνώσῃ· ἀπὸ τοῦ οἶδα.

650. **ἐκ τῶν ποδῶν κτέ.**: ἐξ ἀρχῆς μέχρι τέλους. ἡ δὲ γυνὴ τὰ πράγματα τοὺς μόχθους (πόνους) ἐνόησε, καὶ διὰ τοῦτο λέγει, μὴ δῆτ' ἔμοιγε κτέ.

651. **ἐς τὴν κεφαλήν**: 526.

652. **τὰ πράγματα**: τὰς ὀχλήσεις, τοὺς πόνους.

ΚΑΡΙΩΝ.

ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεὸν
ἄγοντες ἄνδρα τότε μὲν ἀθλιώτατον,
νῦν δ' εἴ τιν' ἄλλον μακάριον κεὐδαίμονα,
πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν,
ἔπειτ' ἐλοῦμεν.

ΓΥΝΗ.

νὴ Δί' εὐδαίμων ἄρ' ἦν
ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.

ΚΑΡΙΩΝ.

ἔπειτα πρὸς τὸ τέμενος ᾖμεν τοῦ θεοῦ.
ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα
καθωσιώθη, πέλανος Ἡφαίστου φλογί,
κατεκλίναμεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν·
ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.

ΓΥΝΗ.

ἦσαν δέ τινες κἄλλοι δεόμενοι τοῦ θεοῦ;

654. **ἀθλιώτατον**: διὰ τὸ τυφλὸν εἶναι.

655. **εἴ τιν' ἄλλον**: δέον εἰπεῖν εἴ τις ἄλλος, εἶπε εἴ τιν' ἄλλον, πρὸς τὴν ὄπισθεν αἰτιατικήν.

657. **ἐλοῦμεν**: ἀπὸ τοῦ λόω· οὕτως γὰρ οἱ Ἀττικοὶ ἀντὶ τοῦ λούω. — **εὐδαίμων**: ἐν εἰρωνείᾳ, ἀντὶ τοῦ κακοδαίμων.

658. **ψυχρᾷ**: ἐνάντιον τῷ θερμῷ.

660. **πόπανα**: πλακούντα πλατέα καὶ λεπτὰ καὶ περιφερῆ, ἐξ ἀλφίτου ἐλαίῳ καὶ οἴνῳ δεδευμένος. — **προθύματα**: τὰ πρὸ τῆς θυσίας γιγνόμενα.

661. **καθωσιώθη**: καθοσιόω τὸ καθιερεύω, καταθύω. — **πέλανος**: πέμμα ἐκ παιπάλης καὶ ἐλαίου καὶ μέλιτος πεποιημένον πρὸς θυσίαν. καὶ τὸν μὲν πέλανον ἐν τῷ πυρὶ ἔρριπτον, τὰ δὲ πόπανα καὶ τὰ προθύματα ἐν μέρει τοῦ βωμοῦ ἐτίθεσαν.

663. **στιβάδα**: εἶδος στρωμνῆς. — **παρεκαττύετο**: παρακαττύω τὸ ἐκ μικρῶν καὶ πολλῶν ἑτοιμάζω, κατασκευάζω. κυρίως δὲ καττύω τὸ ῥάπτω.

ΚΑΡΙΩΝ.

εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλός, 665
κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντικεν·
ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
ἔχοντες· ὡς δὲ τοὺς λύχνους ἀποσβέσας
ἡμῖν παρήγγειλ' ἐγκαθεύδειν τοῦ θεοῦ
ὁ πρόπολος, εἰπών, ἤν τις αἴσθηται ψόφου, 670
σιγᾶν, ἅπαντες κοσμίως κατεκείμεθα.
κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην, ἀλλά με
ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη
ὀλίγον ἄπωθεν τῆς κεφαλῆς του γραδίου,
ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι. 675
ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα
τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας
ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
εἴ που πόπανον εἴη τι καταλελειμμένον· 680
ἔπειτα ταῦθ' ἥγιζεν εἰς σακτάν τινα.

665. **Νεοκλείδης**: οὗτος ῥήτωρ ἦν καὶ συκοφάντης καὶ τὰ δημόσια κλέπτων. παροίμιον οὖν ἦν Νεοκλείδου κλεπτίστερος.

666. **ὑπερηκόντικεν**: ὑπερενίκησεν, ὑπερέβαλεν, ἐκ μεταφορᾶς τῶν τὰ ἀκόντια ῥιπτόντων.

670. **πρόπολος**: κυρίως ὁ ἔμπροσθεν πορευόμενος ὑπηρέτης, πρόδρομος· καθόλου δὲ ὑπηρέτης, δοῦλος. καὶ σύναπτε πρὸς τὸ θεοῦ.

673. **ἀθάρης**: ἀθάρα ἄλευρον ἡψημένον. αἱ δὲ γραῖαι τοὺς ὀδόντας ἀποβαλοῦσαι οὐκ ἄλλο τι ἢ ἀθάραν ἐσθίουσι· τοιοῦτον τοίνυν ἐχρῆν καὶ δῶρον αὐτὰς προσφέρειν τῷ θεῷ. — **ἐξέπληττε**: ἐτάρασσέν με, εἰς θαῦμα ἔφερε.

675. **δαιμονίως**: ὑπερφυῶς. σύναπτε πρὸς τὸ ἐπεθύμουν.

677. **φθοῖς**: οὕτως οἱ Ἀττικοί, ἀντὶ τοῦ φθοΐας. φθοῖς δὲ πέμμα πλατὺ ἔχον ὀμφαλόν. — **τὰς ἰσχάδας**: τὰ σῦκα ξηρά.

681. **ἥγιζεν**: ἁγίζω τὸ ἀποδιδόναι τῷ θεῷ, τὸ ἱερὸν ποιέω. ἐνταῦθα δὲ κατ' εἰρωνείαν. — **εἰς σακτάν τινα**: παρὰ προσδοκίαν, δέον εἰπεῖν εἰς τὸν βωμὸν ἥγιζε. ὁ δὲ σακτὰς σάκκος ἐκ δέρματος.

κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος
ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.

ΓΥΝΗ.

ταλάνταt' ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν θεόν;

ΚΑΡΙΩΝ.

νὴ τοὺς θεοὺς ἔγωγε μὴ φθάσειέ με 685
ἐπὶ τὴν χύτραν ἐλθὼν ἔχων τὰ στέμματα·
ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
τὸ γράδιον δ' ὡς ᾐσθάνετό μου τὸν ψόφον,
ἄρας ὑφῄρει· κἄτα συρίξας ἐγὼ
ὁδὰξ ἐλαβόμην, ὡς παρείας ὢν ὄφις. 690
ἡ δ' εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασεν,
κατέκειτο δ' αὐτὴν ἐντυλίξασ' ἡσυχῇ,
ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων·
ἔπειτ' ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην. 695

ΓΥΝΗ.

ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν;

682. **τοῦ πράγματος**: τοῦ λαμβάνειν ἀπὸ τῶν ἐν τῷ ἱερῷ, καθότι καὶ ὁ ἱερεὺς ἐλάμβανεν.

684. **ταλάντατε**: ἀθλιώτατε. — **τὸν θεόν**: Ἀσκληπιὸν δηλονότι.

686. **ἔχων τὰ στέμματα**: οὕτως λέγει διὰ τὸ γράφειν τὸν Ἀσκληπιὸν ἀεὶ στεφανηφοροῦντα, ὡς ὑγιείας αἴτιον.

689. **ἄρας**: τὴν χεῖρα δηλονότι. — **ὑφῄρει**: τὴν χύτραν δηλ. — **συρίξας**: συριγμὸς ἡ φωνὴ τοῦ ὄφεως.

690. **ὁδὰξ ἐλαβόμην**: τοῖς ὀδοῦσιν αὐτὴν ἔλαβον, οἷον ἔδακον αὐτήν. — **παρείας**: εἶδος ὄφεως· φασὶ δὲ αὐτὸν μὴ δάκνειν, ἢ καὶ δάκνοντα μὴ λυπεῖν. πολλοὶ τοίνυν τούτων ἐν τῷ τοῦ Ἀσκληπιοῦ ἱερῷ ἦσαν.

691. **ἀνέσπασεν**: εἰς ἑαυτὴν συνέστειλεν.

692. **ἐντυλίξασα**: ἐντυλίττω τὸ σφαῖραν ποιεῖν· καὶ ἐν τῇ κλίνῃ δηλονότι.

693. **δέους**: φόβου.

694. **πολλήν**: μοῖραν ἢ μερίδα δηλονότι. — **ἔφλων**: ἀντὶ τοῦ ἤσθιον. κυρίως δὲ φλᾶν τὸ μετὰ ψόφου ἐσθίειν.

695. **μεστός**: πλήρης τῆς ἀθάρης.

ΚΑΡΙΩΝ.

οὐδέπω.

μετὰ τοῦτο δ' ἤδη καὶ γέλοιον δῆτά τι
ἐποίησα. προσιόντος γὰρ αὐτοῦ μέγα πάνυ
ἀπέπαρδον· ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.

ΓΥΝΗ.

ἦ πού σε διὰ τοῦτ' εὐθὺς ἐβδελύττετο. 700

ΚΑΡΙΩΝ.

οὔκ, ἀλλ' Ἰασὼ μέν τις ἀκολουθοῦσ' ἅμα
ὑπηρυθρίασε χἠ Πανάκει' ἀπεστράφη
τὴν ῥῖν' ἐπιλαβοῦσ'· οὐ λιβανωτὸν γὰρ βδέω.

ΓΥΝΗ.

αὐτὸς δ' ἐκεῖνος ——

ΚΑΡΙΩΝ.

οὐ μὰ Δί' οὐδ' ἐφρόντισεν.

ΓΥΝΗ.

λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν θεόν. 705

ΚΑΡΙΩΝ.

μὰ Δί' οὐκ ἔγωγ', ἀλλὰ σκατοφάγον.

ΓΥΝΗ.

αἶ τάλαν.

ΚΑΡΙΩΝ.

μετὰ ταῦτ' ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην
δείσας, ἐκεῖνος δ' ἐν κύκλῳ τὰ νοσήματα
σκοπῶν περιῄει πάντα κοσμίως πάνυ.

699. **ἐπεφύσητο**: *ὑπὸ τῆς ἀθάρης δηλονότι.*

700. **ἦ πού**: *ὄντως.* — **ἐβδελύττετο**: *ἐμίσει.*

707. **ἐνεκαλυψάμην**: *ἐν τοῖς ἱματίοις δηλονότι.*

ἔπειτα παῖς αὐτῷ λίθινον θυΐδιον 710
παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.

ΓΥΝΗ.

λίθινον;

ΚΑΡΙΩΝ.

μὰ Δί' οὐ δῆτ', οὐχὶ τό γε κιβώτιον.

ΓΥΝΗ.

σὺ δὲ πῶς ἑώρας, ὦ κάκιστ' ἀπολούμενε,
ὃς ἐγκεκαλύφθαι φῄς;

ΚΑΡΙΩΝ.

διὰ τοῦ τριβωνίου.
ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας μὰ τὸν Δία. 715
πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον
καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
σκορόδων κεφαλὰς τρεῖς Τηνίων. ἔπειτ' ἔφλα
ἐν τῇ θυΐᾳ συμπαραμιγνύων ὀπὸν
καὶ σχῖνον· εἶτ' ὄξει διέμενος Σφηττίῳ, 720
κατέπλασεν αὐτοῦ τὰ βλέφαρ' ἐκστρέψας, ἵνα

710. **παῖς**: δοῦλός τις. — **θυΐδιον**: ἀγγεῖον (δοχεῖον) ἐν ᾧ ἔτριβον οἱ ἰατροὶ τὰ φάρμακα.

711. **δοίδυκα**: διὰ τοῦ δοίδυκος κατέτριβον τὰ φάρμακα. — **κιβώτιον**: κίστη μικρὰ ξυλίνη εἰς ὑποδοχὴν τῶν φαρμάκων καὶ τῶν μηχανῶν τῶν ἰατρῶν.

714. **διὰ τοῦ τριβωνίου**: ἔβλεπον δηλονότι. καὶ τριβώνιον ἐνταῦθα τὸ παλαιὸν καὶ διερρυηκὸς ἱμάτιον.

715. **ὀπάς**: ἀνοίγματα.

717. **καταπλαστόν**: τῶν φαρμάκων τὰ μὲν καταπλαστά, τὰ δὲ χριστά, τὰ δὲ ποτά, τὰ δὲ βρώσιμα. — **ἐνεχείρησε**: ἤρξατο.

718. **σκορόδων**: εἶδος κρομμύου δριμυτάτην ὀσμὴν ἔχον. — **Τηνίων**: ἡ Τῆνος, μία τῶν Κυκλάδων νῆσος, δριμύτατα σκόροδα φέρει. — **ἔφλα**: συνέτριβε.

719. **τῇ θυΐᾳ**: τῷ θυΐδίῳ (710). — **ὀπόν**: ὀπὸς τὸ τῶν δένδρων δάκρυον, καὶ μάλιστα τῆς συκῆς, πικρότατον ὄν.

720. **σχῖνον**: εἶδος φυτοῦ πικροτάτου. — **διέμενος**: ἀπὸ τοῦ διΐημι καὶ ἀντὶ τοῦ διυγραίνων. — **Σφηττίῳ**: Σφηττὸς δῆμος ἦν ἐν Ἀττικῇ, ὅθεν, ὡς ἔοικε, δριμύτατον ὄξος ἐγένετο.

721. **τὰ βλέφαρα**: οἷς οἱ ὀφθαλμοὶ καλύπτονται.

ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς καὶ βοῶν
ἔφευγ' ἀνᾴξας· ὁ δὲ θεὸς γελάσας ἔφη·
ἐνταῦθα νῦν κάθησο καταπεπλασμένος,
ἵν' ὑπομνύμενον παύσω σε ταῖς ἐκκλησίαις. 725

ΓΥΝΗ.

ὡς φιλόπολίς τίς ἐσθ' ὁ δαίμων καὶ σοφός.

ΚΑΡΙΩΝ.

μετὰ τοῦτο τῷ Πλούτωνι παρεκαθέζετο,
καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο,
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν
τὰ βλέφαρα περιέψησεν· ἡ Πανάκεια δὲ 730
κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι
καὶ πᾶν τὸ πρόσωπον· εἶθ' ὁ θεὸς ἐπόππυσεν.
ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ
ὑπερφυεῖς τὸ μέγεθος.

ΓΥΝΗ.

ὦ φίλοι θεοί.

722. **ὀδυνῷτο**: λυπεῖτο, ἀλγεῖ.

723. **ἀνᾴξας**: ὁρμήσας.

725. **ὑπομνύμενον**: τὸ ὑπομόσαι ἐστὶ τὸ ἀποδιδόναι αἰτίαν, ἢ νόσον ἢ ἄλλον τινά, δι' ἣν οὐχ ὑπαντᾷ τις πρὸς τὴν δίκην. — **παύσω**: σύναπτε πρὸς τὸ ἐκκλησίαις.

726. **φιλόπολις**: διότι τὸν ἅρπαγα τῶν δημοσίων τῆς πόλεως ἠμύνατο.

727. **τῷ Πλούτωνι**: τὸν Πλοῦτον Πλούτωνα εἶπε παίζων, ὃς καὶ θεὸς ἦν χρημάτων, ὅτι ἐκ τῆς γῆς ἀνίεται ὁ πλοῦτος· ἢ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν προθυμίας χάριν.

729. **ἡμιτύβιον**: ῥάκος λινοῦν τι.

731. **φοινικίδι**: πέπλῳ κοκκίνῳ.

732. **ἐπόππυσεν**: ἐσύρισεν, ἵνα οἱ δράκοντες ἐξέλθωσι δηλονότι.

733. **ἐξηξάτην**: ἀπὸ τοῦ ἐξαΐσσω. — **δράκοντε**: εἰκότως φησὶν ὑπηρέτας ἔχειν τὸν Ἀσκληπιὸν ὄφεις. δράκοντες γὰρ λέγονται ἀπὸ τοῦ δέρκω, ὅ ἐστι βλέπω· ὀξυδερκὲς γὰρ τοῦτο τὸ ζῷον. καὶ προσέτι οἱ ὄφεις τὸ παλαιὸν αὐτῶν ἀπεκδυόμενοι δέρμα ἀεὶ νεάζουσιν· οὕτως καὶ ὁ θεὸς τῶν ἀσθενούντων τὰς νόσους ἀποριπτῶν νεάζοντας δείκνυσιν.

ΚΑΡΙΩΝ.

τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῇ 735
τὰ βλέφαρα περιέλειχον, ὥς γ' ἐμοὐδόκει·
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα
ὁ Πλοῦτος, ὦ δέσποιν', ἀνεστήκει βλέπων·
ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' εὐθέως 740
ἠφάνισεν αὐτὸν οἵ τ' ὄφεις εἰς τὸν νεών.
οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ πῶς δοκεῖς
τὸν Πλοῦτον ἠσπάζοντο καὶ τὴν νύχθ' ὅλην
ἐγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
ἐγὼ δ' ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα, 745
ὅτι βλέπειν ἐποίησε τὸν Πλοῦτον ταχύ,
τὸν δὲ Νεοκλείδην μᾶλλον ἐποίησεν τυφλόν.

ΓΥΝΗ (*apostrophizing Aesculapius*).

ὅσην ἔχεις τὴν δύναμιν, ὦναξ δέσποτα.
(*To* Cario.) ἀτὰρ φράσον μοι, ποῦ 'σθ' ὁ Πλοῦτος;

ΚΑΡΙΩΝ.

ἔρχεται.
ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος. 750
οἱ γὰρ δίκαιοι πρότερον ὄντες καὶ βίον
ἔχοντες ὀλίγον αὐτὸν ἠσπάζοντο καὶ
ἐδεξιοῦνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς·

735. **τούτω**: τὼ δράκοντε δηλονότι. — **ὑποδύντε**: ὑπεισελθόντε.

737. **κοτύλας**: κοτύλη εἶδος ἀγγείου. σκώπτει δὲ τὴν γυναῖκα ὡς φίλοινον (645).

739. **ἀνεκρότησα**: ἀνατείνας ἔπληξα.

741. **ἠφάνισεν**: ἀφανῆ ἐποίησεν. — **ὄφεις**: ἔβησαν δηλονότι.

742. **ἐγκατακείμενοι**: ἤτοι οἱ ἄλλοι ἀσθενεῖς. — **πῶς δοκεῖς**: ἀντὶ τοῦ λίαν.

750. **ὑπερφυὴς ὅσος**: ὑπερφυῶς μέγας.

751. **βίον**: ἀντὶ τοῦ οὐσίαν, τροφήν.

753. **ἐδεξιοῦντο**: τὰς δεξιὰς ἐνέβαλλον αὐτῷ ἀσπαζόμενοι.

ὅσοι δ' ἐπλούτουν οὐσίαν τ' εἶχον συχνὴν
οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι, 755
ὀφρῦς συνῆγον ἐσκυθρώπαζόν θ' ἅμα.
οἱ δ' ἠκολούθουν κατόπιν ἐστεφανωμένοι,
γελῶντες, εὐφημοῦντες· (*with tragic air*) ἐκτυπεῖτο δὲ
ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
(*To* CHORUS.) ἀλλ' εἶ' ἀπαξάπαντες ἐξ ἑνὸς λόγου 760
ὀρχεῖσθε καὶ σκιρτᾶτε καὶ χορεύετε·
οὐδεὶς γὰρ ὑμῖν εἰσιοῦσιν ἀγγελεῖ
ὡς ἄλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.

ΓΥΝΗ.

νὴ τὴν Ἑκάτην, κἀγὼ δ' ἀναδῆσαι βούλομαι
εὐαγγέλιά σε κριβανωτῶν ὁρμαθῷ, 765
τοιαῦτ' ἀπαγγείλαντα.

ΚΑΡΙΩΝ.

μή νυν μέλλ' ἔτι,
ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.

754. **συχνήν**: πολλήν.

755. **οὐκ ἐκ δικαίου**: ἀντὶ τοῦ ἀδίκως.

756. **ὀφρῦς**: αἱ ὑπὲρ τῶν ὀφθαλμῶν κείμεναι τρίχες. τὸ δὲ τὰς ὀφρῦς συνάγειν δεῖγμα ὀργῆς ἐστιν, ἴδιον ὂν τῶν λυπουμένων. — **ἐσκυθρώπαζον**: σκυθρωπὸς στυγνὸς (χαλεπός) ἐστιν τὴν ὄψιν.

757. **οἱ δέ**: δίκαιοι δηλονότι. — **κατόπιν**: τοῦ Πλούτου.

758. **εὐφημοῦντες**: τὸν Πλοῦτον δηλ.

759. **ἐμβάς**: τοῦτο ἀνδρεῖόν ἐστιν ὑπόδημα. — **εὐρύθμοις**: εὐτάκτοις· κυρίως δὲ λέγεται ἐπὶ μουσικῆς.

760. **εἶα**: ἄγε. — **λόγου**: κελεύσματος.

761. τὸ μὲν ὀρχέομαι τὸ ἄλλομαι ῥυθμικῶς, τὸ δὲ σκιρτάω οὐ ῥυθμικῶς, τὸ δὲ χορεύω ἐν χορῷ.

762. **εἰσιοῦσιν**: εἰς δόμους ὑμέτερας δηλονότι.

763. **ἄλφιτα**: ἤγουν ἄρτοι. — **τῷ θυλάκῳ**: τῇ ἀρτοθήκῃ.

764. **ἀναδῆσαι**: στεφανῶσαι.

765. **κριβανωτῶν ὁρμαθῷ**: δέσμῃ ἄρτων ἐν κριβάνῳ (καμίνῳ) ὠπτημένων, δέον εἰπεῖν στεφάνῳ.

ΓΥΝΗ.

φέρε νυν ἰοῦσ' εἴσω κομίσω καταχύσματα
ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς χρεών.

ΚΑΡΙΩΝ.

ἐγὼ δ' ὑπαντῆσαί γ' ἐκείνοις βούλομαι. 770

Exit Wife of Chremylus *into house; also* Cario, r., *to meet* Plutus.

A song or dance by the Chorus occupies the interval between this and the next scene.

SCENE 3.

Plutus, returning cured from the temple of Aesculapius, expresses his regret for his former associations, and promises a reform. The Wife of Chremylus, coming out of the house, wishes to greet the god with a shower of sweetmeats which she has prepared, but is persuaded to defer the ceremony until all are within.

Enter Plutus, Chremylus, *and* Cario, r., *accompanied by an excited crowd.*

[Metre: *Iambic Trimeter.*]

Plutus. Chremylus. Wife of Chremylus.

[Cario. Chorus. A Crowd.]

768. **καταχύσματα**: *πρὸς τὸ ἔθος τὸ παρ' αὐτοῖς. τοῖς γὰρ νεωνήτοις δούλοις τοῖς πρῶτον εἰσιοῦσιν εἰς τὴν οἰκίαν, περὶ τὴν ἑστίαν* (795) *τὰ τραγήματα κατέχεον εἰς σημεῖον εὐπορίας.*

769. **ὀφθαλμοῖς**: *δέον εἰπεῖν δούλοις, ὀφθαλμοῖς εἶπεν, διὰ τὸ νεωστὶ ἀναβλέψαι τὸν* Πλοῦτον.

ΠΛΟΥΤΟΣ (*looking upward*).

καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
(*looking about him*) ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο.
αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ συμφοράς,
οἵοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον, 775
τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας
ἔφευγον, εἰδὼς οὐδέν· ὦ τλήμων ἐγώ,
ὡς οὔτ' ἐκεῖν' ἄρ' οὔτε ταῦτ' ὀρθῶς ἔδρων·
ἀλλ' αὖ τὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ
δείξω τὸ λοιπὸν πᾶσιν ἀνθρώποις ὅτι 780
ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐπεδίδουν.

ΧΡΕΜΥΛΟΣ (*angrily, to one of the crowd who is pressing upon* PLUTUS).

βάλλ' ἐς κόρακας· ὡς χαλεπόν εἰσιν οἱ φίλοι
οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράττῃ τις εὖ.
νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια,
ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα. 785

771. **προσκυνῶ**: ἀσπάζομαι.—**Ἥλιον**: τοῦτον γὰρ ἀναβλέψας πρῶτον ἐώρακε.

772. **σεμνῆς ... πέδον**: ἤγουν τὰς Ἀθήνας. — **κλεινὸν**: ἔνδοξον, ὀνομαστόν.

773. **χώραν ... Κέκροπος**: ἤγουν τὴν Ἀττικήν· ὁ γὰρ Κέκροψ, Αἰγύπτιος ὢν τὸ γένος, ᾤκισε τὴν Ἀττικήν.

774. **αἰσχύνομαι κτέ.**: τὰ συμβάντα μοι, φησίν, αἰσχύνομαι· εἰς γνῶσιν δὲ ἐλθὼν καὶ αἴσθησιν ὧν ἔπραττεν, αἰδεῖται, γνοὺς ὡς μετ' ἀδίκων ἦν.

775. **οἵοις**: κακοῖς δηλονότι.

778. **ἐκεῖνα**: τὸ πλουτίζειν τοὺς κακούς. — **ταῦτα**: τὸ φεύγειν τοὺς ἀγαθούς.

782. **βάλλε**: σεαυτὸν δηλονότι (394).

784. **νύττουσι**: τιτρώσκουσι, κόπτουσι. — **φλῶσι**: συντρίβουσι, θλίβουσι, ξύουσι. — **τἀντικνήμια**: κνήμη τὸ διόστεον μέρος τοῦ σκέλους, ὅ ἐστι τὸ ὑποκάτω τοῦ γόνατος, καὶ ταύτης τὸ μὲν πρόσθιον, τὸ δ' ὀπίσθιον, ἀντικνήμιον.

ἐμὲ γὰρ τίς οὐ προσεῖπε; ποῖος οὐκ ὄχλος
περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;

ΓΥΝΗ (*enters from the house, carrying sweetmeats*).

(*To* Plutus *and* Chremylus.) ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ καὶ σὺ χαίρετε.
φέρε νυν, νόμος γάρ ἐστι, τὰ καταχύσματα
ταυτὶ καταχέω σου λαβοῦσα.

ΠΛΟΥΤΟΣ (*stopping her as she is about to shower him*).

μηδαμῶς. 790
ἐμοῦ γὰρ εἰσιόντος εἰς τὴν οἰκίαν
πρώτιστα καὶ βλέψαντος οὐδὲν ἐκφέρειν
πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.

ΓΥΝΗ.

εἶτ' οὐχὶ δέξει δῆτα τὰ καταχύσματα;

ΠΛΟΥΤΟΣ.

ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος· 795
ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ
ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
προβαλόντ', ἐπὶ τούτοις εἶτ' ἀναγκάζειν γελᾶν.

786. **προσεῖπε**: χαίροις εἶπε, ἐχαιρέτισε.
787. **περιεστεφάνωσεν**: περιστεφανοῦν τὸ κύκλῳ περιίστασθαι.
789. **νόμος**: 768.
793. **πρεπῶδες**: προσῆκον, πρέπον.
796. **φόρτον**: μέμψιν· ἢ πρᾶγμά τι σκωπτικὸν καὶ γέλοιον.
797. **τῷ διδασκάλῳ**: ἤγουν τῷ ποιητῇ, τῷ Ἀριστοφάνει.
798. **ἰσχάδια**: σῦκα ξηρά. — **τρωγάλια**: τραγήματα· ἄλλα δηλονότι.

ΓΥΝΗ.

εὖ πάνυ λέγεις· ὡς Δεξίνικός γ' οὑτοσὶ (*pointing to one of the spectators*) 800
ἀνίσταθ' ὡς ἁρπασόμενος τῶν ἰσχάδων.

Exeunt all except the CHORUS *into the house.*

A dance of the CHORUS follows, occupying the interval between this and the next scene.

800. **Δεξίνικος**: διαβάλλει τοῦτον ὡς πένητα καὶ ἅρπαγα.



ACT IV.

SCENE I.

Cario, driven out of the house by the smoke of the sacrifice which his master is holding, describes to the Chorus, with some amusing illustrations, the plenty that now reigns within.

Enter Cario, *from the house, rubbing his eyes. He addresses the* Chorus.

[Metre: *Iambic Trimeter.*]

CARIO. [CHORUS.]

ΚΑΡΙΩΝ.

ὡς ἡδὺ πράττειν, ὦνδρες, ἐστ' εὐδαιμόνως,
καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν. 805
[οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πρᾶγμα δή.]
ἡ μὲν σιπύη μεστή 'στι λευκῶν ἀλφίτων,
οἱ δ' ἀμφορῆς οἴνου μέλανος ἀνθοσμίου.
ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
τὰ σκευάρια πλήρη 'στίν, ὥστε θαυμάσαι.
τὸ φρέαρ δ' ἐλαίου μεστόν· αἱ δὲ λήκυθοι 810
μύρου γέμουσι, τὸ δ' ὑπερῷον ἰσχάδων.
ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαθροὺς
τοὺς ἰχθυηροὺς ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἶπος ἡμῖν ἐξαπίνης ἐλεφάντινος. 815

802. **ἡδύ**: *σύναπτε πρὸς τό ἐστι.* — **πράττειν**: *σύναπτε πρὸς τὸ εὐδαιμόνως.*

803. **ἐξενεγκόντ' οἴκοθεν**: *ἤγουν δαπανήσαντα.*

804. **σωρός**: *πλῆθος· κυρίως δὲ τοῦ σίτου.*

805. **ἐπεισπέπαικεν**: *ἀπὸ τοῦ ἐπεισπαίω, καὶ ἀντὶ τοῦ εἰσῆλθε· κυρίως δὲ ἐπὶ στρατείας πολεμίων.* — **οὐδὲν ἠδικηκόσιν**: *παίζων τοῦτό φησιν, ὡς τῶν πολλῶν τῶν Ἀθηναίων ἐξ ἀδικίας μόνης πλουτούντων.*

807. **ἡ σιπύη**: *ἡ ἀρτοθήκη.*

808. **ἀμφορῆς**: *ἀμφορεὺς ἀγγεῖον ἦν.* — **ἀνθοσμίου**: *ἡδέος, εὐόσμου, ὥσπερ τὰ ἄνθη.*

809. **τὰ σκευάρια**: *τὰ σκεύη, τὰ ἀγγεῖα.* — **θαυμάσαι**: *ἔξεστι δηλονότι.*

810. **τὸ φρέαρ**: *λάκκος τις ἢ κοίλωμα ἐν τῇ γῇ, ἐν ᾧ ἐφύλαττον τὸ ἔλαιον, ὅταν ἦν πολύ.* — **λήκυθοι**: *τὰ ἐλαιοδόχα ἀγγεῖα.*

812. **ὀξὶς**: *τὸ τοῦ ὄξους ἀγγεῖον.* — **λοπάδιον**: *εἶδος κεραμίου.*

813. **τοὺς πινακίσκους ... ἰχθυηρούς**: *ἐν οἷς οἱ ἰχθύες ἐπλύνοντο.* — **σαθρούς**: *παλαιούς, σαπρούς.*

815. **ἶπος**: *ἡ μυάγρα, ὄργανόν τι δι' οὗ ἤγρευον τοὺς μύας.* — **ἐξαπίνης**: *ἐξαίφνης.*

στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
χρυσοῖς, ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι,
ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
ὖν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος· 820
ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐχ οἷός τε γὰρ
ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.

SCENE 2.

An Honest Man, formerly poor, but grown rich since the restoration of sight to Plutus, comes to thank the god for his intervention, and to dedicate to him in gratitude the old cloak and shoes which he has been wearing the past thirteen years.

Enter, r., *the* Honest Man, *accompanied by his slave, who carries a ragged cloak and a pair of old shoes.*

[Metre: *Iambic Trimeter.*]

Cario. Honest Man. [Slave. Chorus.]

ΔΙΚΑΙΟΣ (*as he enters, to the slave*).

ἕπου μετ' ἐμοῦ, παιδάριον, ἵνα πρὸς τὸν θεὸν
ἴωμεν.

816. **στατῆρσι**: εἶδος νομίσματος ὁ στατήρ. — **ἀρτιάζομεν**: ἤγουν παίζομεν ἄρτια ἢ περισσά. παιδιὰ δέ τις ἦν καθ' ἣν ὁ δραξάμενος ἀστραγάλων ἤ τινων ἄλλων ἐξήταζε τὸν συμπαίζοντα πότερον ἀρτίους ἢ περισσοὺς κατέχει.

819. **βουθυτεῖ**: βουθυτεῖν κυρίως τὸ βοῦν θύειν.

820. **ὖν καὶ τράγον καὶ κριόν**: τοῦτο θυσία ἦν ἐντελὴς τριττὺς λεγομένη.

821. **ὁ καπνός**: ὁ ἀπὸ τῶν καιομένων ξύλων. 823. **τὸν θεόν**: τὸν Πλοῦτον.

ΚΑΡΙΩΝ.

ἔα, τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;

ΔΙΚΑΙΟΣ.

ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής. 825

ΚΑΡΙΩΝ.

δῆλον ὅτι· τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.

ΔΙΚΑΙΟΣ.

μάλιστ'.

ΚΑΡΙΩΝ.

ἔπειτα τοῦ δέει;

ΔΙΚΑΙΟΣ.

πρὸς τὸν θεὸν
ἥκω· μεγάλων γάρ μοὐστὶν ἀγαθῶν αἴτιος.
ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
λαβὼν ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων, 830
εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.

ΚΑΡΙΩΝ.

ἦ πού σε ταχέως ἐπέλιπεν τὰ χρήματα.

ΔΙΚΑΙΟΣ.

κομιδῇ μὲν οὖν.

ΚΑΡΙΩΝ.

οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος.

ΔΙΚΑΙΟΣ.

κομιδῇ μὲν οὖν. κἀγὼ μὲν ᾤμην οὓς τέως

824. **ἔα**: *φωνὴ θαυμασμοῦ.*
827. **τοῦ δέει**: *τίνος χρείαν ἔχεις;*
828. **μοὐστίν**: *μοί ἐστιν.*
830. **ἐπήρκουν**: *ἐβοήθουν.*
832. **ἦ πού**: *ὄντως.*
833. **κομιδῇ**: *πάνυ, παντάπασι.* — **μετὰ ταῦτα**: *μετὰ τὸ ἀναλῶσαι ταῦτα.*
834. **τέως**: *πρώην, πρότερον.*

εὐηργέτησα δεομένους ἕξειν φίλους 835
ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
οἱ δ' ἐξετρέποντο κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.

ΚΑΡΙΩΝ.

καὶ κατεγέλων δ', εὖ οἶδ' ὅτι.

ΔΙΚΑΙΟΣ.

κομιδῇ μὲν οὖν.

ΚΑΡΙΩΝ.

αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων σ' ἀπώλεσεν.

ΔΙΚΑΙΟΣ.

ἀλλ' οὐχὶ νῦν. ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν 840
προσευξόμενος ἥκω δικαίως ἐνθάδε.

ΚΑΡΙΩΝ (*pointing to the slave*).

τὸ τριβώνιον δὲ τί δύναται πρὸς τὸν θεόν,
ὃ φέρει τὸ μετὰ σοῦ παιδάριον τουτί; φράσον.

ΔΙΚΑΙΟΣ.

καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.

ΚΑΡΙΩΝ.

μῶν ἐνεμυήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα; 845

837. **ἐξετρέποντο**: τῆς ὁδοῦ δηλονότι.

839. **αὐχμὸς ... σκευαρίων**: ἤγουν στέρησις τῶν χρειῶν· αὐχμὸς δὲ ξηρασία.

842. **τὸ τριβώνιον**: τὸ παλαιὸν ἱμάτιον.

843. **μετά**: ὄπισθεν.

844. **πρὸς τὸν θεόν**: σύναπτε πρὸς τὸ ἀναθήσων.

845. **ἐνεμυήθης ... τὰ μεγάλα**: μυστήρια δηλονότι. καὶ τὸ μυῶ τὸ καθιερῶ τινὰ εἰς τὰ μυστήρια, διδάσκω τινὰ τὰ μυστήρια. ἐτελοῦντο δὲ μεγάλα καὶ μικρὰ μυστήρια ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς· ἦσαν δὲ τὰ μεγάλα τῆς Δήμητρος, τὰ δὲ μικρὰ Περσεφόνης, τῆς αὐτῆς θυγατρός.

ΔΙΚΑΙΟΣ.

οὔκ, ἀλλ' ἐνερρίγωσ' ἔτη τριακαίδεκα.

ΚΑΡΙΩΝ.

τὰ δ' ἐμβάδια;

ΔΙΚΑΙΟΣ.

καὶ ταῦτα συνεχειμάζετο.

ΚΑΡΙΩΝ.

καὶ ταῦτ' ἀναθήσων ἔφερες οὖν;

ΔΙΚΑΙΟΣ.

νὴ τὸν Δία.

ΚΑΡΙΩΝ (*ironically*).

χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.

καὶ τὰ μικρὰ ὥσπερ προκάθαρσις ἦν καὶ προάγνευσις τῶν μεγάλων. — **ἐν αὐτῷ**: τῷ τριβωνίῳ δηλονότι. ὁ γὰρ μυούμενος τὸ ἱμάτιον, ὃ ἐφόρει ἐν τῇ μυήσει, οὐδέποτε ἀπεδύετο, μέχρις ἂν τελέως ἀφανισθῇ διαρρυέν. καὶ ἔθος ἦν τοῦτο θεῷ τινι ἀνατιθέναι.

846. **ἐνερρίγωσα**: τῷ ψύχει.

847. **τὰ δ' ἐμβάδια**: τί δύναται πρὸς τὸν θεόν. — **συνεχειμάζετο**: σὺν ἐμοὶ δηλ.



SCENE 3.

An Informer enters, with his witness. He complains that he is ruined; for since Plutus recovered his sight, his trade is spoiled. Cario and the Honest Man laugh at his miseries and make light of his threats; they strip him of his cloak and shoes, and send him away to the bath wearing the threadbare cloak which the Honest Man has discarded.

Enter, r., *an* Informer, *with his witness.*

[Metre: *Iambic Trimeter.*]

Cario. Honest Man. Informer.

[Slave. Witness. Chorus.]

ΣΥΚΟΦΑΝΤΗΣ.

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος, 850
καὶ τρὶς κακοδαίμων καὶ τετράκις καὶ πεντάκις
καὶ δωδεκάκις καὶ μυριάκις· ἰοὺ ἰού.
οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι.

ΚΑΡΙΩΝ.

Ἄπολλον ἀποτρόπαιε καὶ θεοὶ φίλοι,
τί ποτ' ἐστὶν ὅ τι πέπονθεν ἄνθρωπος κακόν; 855

ΣΥΚΟΦΑΝΤΗΣ.

οὐ γὰρ σχέτλια πέπονθα νῦν τὰ χρήματα
ἀπολωλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
πάλιν αὖθις, ἤνπερ μὴ 'λλίπωσιν αἱ δίκαι;

ΔΙΚΑΙΟΣ.

ἐγὼ σχεδὸν τὸ πρᾶγμα γιγνώσκειν δοκῶ. 860
προσέρχεται γάρ τις κακῶς πράττων ἀνήρ,
ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.

ΚΑΡΙΩΝ.

νὴ Δία, καλῶς τοίνυν ποιῶν ἀπόλλυται.

853. **πολυφόρῳ**: πολλὰ κακὰ φέροντι. ἢ μεταφορικῶς, ἰσχυρῷ, ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου.—**συγκέκραμαι**: μεταφορικῶς, ἀπ' οἴνου καὶ ὕδατος τῆς συγκράσεως.

854. **ἀποτρόπαιε**: τῶν κακῶν δηλονότι. — **καὶ θεοί**: καὶ ἄλλοι θεοὶ δηλ.

856. **σχέτλια**: χαλεπά.

859. **ἤνπερ κτέ.**: ἀντὶ τοῦ ἐὰν τὸ δίκαιον παραμείνῃ.

862. **τοῦ πονηροῦ κόμματος**: ὡς ἐπὶ νομίσματος εἶπεν, ἀπὸ μεταφορᾶς τῶν νομισμάτων κακῶς κοπέντων, ἢ ἐξ ὀλίγου χρυσίου κεκομμένων.

ΣΥΚΟΦΑΝΤΗΣ.

ποῦ ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως, 865
εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς; ὁ δὲ
πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.

ΚΑΡΙΩΝ.

καὶ τίνα δέδρακε δῆτα τοῦτ';

ΣΥΚΟΦΑΝΤΗΣ.

ἐμὲ τουτονί.

ΚΑΡΙΩΝ.

ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων;

ΣΥΚΟΦΑΝΤΗΣ.

μὰ Δί', οὐ μὲν οὖν ἔσθ' ὑγιὲς ὑμῶν οὐδὲ ἕν, 870
κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.

ΚΑΡΙΩΝ.

ὡς σοβαρός, ὦ Δάματερ, εἰσελήλυθεν
ὁ συκοφάντης. δῆλον ὅτι βουλιμιᾷ.

ΣΥΚΟΦΑΝΤΗΣ.

σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις;
ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον 875
εἰπεῖν ἃ πεπανούργηκας.

865. **εὐθέως**: εὐθύς, παραυτίκα.
866. **ἐξ ἀρχῆς**: ὡς τὸ πρότερον.
870. **ὑγιές**: 362.
872. **σοβαρός**: ἐπηρμένος καὶ μέγα φρονῶν. — **Δάματερ**: Δήμητερ.
873. **βουλιμιᾷ**: πεινᾷ λίαν· ἀπὸ τοῦ βου, ἐπιρρήματος, ἀντὶ τοῦ λίαν, καὶ λιμός.
875. **τροχοῦ**: τροχὸς ξυλινόν τι ἦν ἐν ᾧ δεσμούμενοι οἱ δοῦλοι ἐκολάζοντο.

ΚΑΡΙΩΝ.

οἰμώξᾰρα σύ.

ΔΙΚΑΙΟΣ.

νὴ τὸν Δία τὸν σωτῆρα, πολλοῦ γ' ἄξιος
ἅπασι τοῖς Ἕλλησιν ὁ θεός ἐστιν, εἰ
τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.

ΣΥΚΟΦΑΝΤΗΣ (*to the* HONEST MAN).

οἴμοι τάλας· μῶν καὶ σὺ μετέχων καταγελᾷς; 880
ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.

ΔΙΚΑΙΟΣ.

οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου δραχμῆς.

ΚΑΡΙΩΝ.

φάρμακα δ' ἔνεστι συκοφάντου δήγματος; 885

ΣΥΚΟΦΑΝΤΗΣ.

ἆρ' οὐχ ὕβρις ταῦτ' ἐστὶ πολλή; σκώπτετον,
ὅ τι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον.
οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.

876. **οἰμώξᾰρα**: *οἰμώξει ἄρα* (58).
877. **πολλοῦ**: *τιμήματος δηλονότι.*
878. **εἰ**: *ἐπειδή.*
880. **μετέχων**: *κοινωνὸς ὤν.* — **καταγελᾷς**: *ἐμοῦ δηλονότι.*
883. **προτιμῶ**: *ἀντὶ τοῦ φροντίζω, φοβοῦμαι.*
884. **τὸν δακτύλιον**: *τὸν λεγόμενον φαρμακίτην. ὁ δ' Εὔδημος φαρμακοπώλης ἦν, φυσικοὺς (μαγικοὺς) δακτυλίους ποιῶν πρὸς δαίμονας καὶ ὄφεις καὶ τὰ τοιαῦτα. ἐθεράπευον γὰρ τοὺς ὀφιοδήκτους· μᾶλλον δὲ οὐκ εἴων ὑπ' ὄφεων δάκνεσθαι.* — **Εὐδάμου**: *Εὐδήμου.*
885. **φάρμακα**: *σύναπτε πρὸς τὸ δήγματος.* — **ἔνεστι**: *ἐν τῷ δακτυλίῳ.*

ΚΑΡΙΩΝ.

μὰ τὸν Δί' οὔκουν τῷ γε σῷ, σάφ' ἴσθ' ὅτι.

ΣΥΚΟΦΑΝΤΗΣ.

ἀπὸ τῶν ἐμῶν γὰρ ναὶ μὰ Δία δειπνήσετον. 890

ΚΑΡΙΩΝ.

ὡς δὴ 'π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
διαρραγείης, μηδενός γ' ἐμπλήμενος.

ΣΥΚΟΦΑΝΤΗΣ (*smelling* Chremylus's *preparations within*).

ἀρνεῖσθον; ἔνδον ἐστίν, ὦ μιαρωτάτω,
πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
(*Sniffing.*) ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ. 895

ΔΙΚΑΙΟΣ.

κακόδαιμον, ὀσφραίνει τι;

ΚΑΡΙΩΝ.

τοῦ ψύχους γ' ἴσως,
ἐπεὶ τοδί γ' ἀμφέξεται τὸ τριβώνιον.

ΣΥΚΟΦΑΝΤΗΣ.

ταῦτ' οὖν ἀνασχέτ' ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
τούτους ὑβρίζειν εἰς ἔμ'; οἴμ' ὡς ἄχθομαι
ὅτι χρηστὸς ὢν καὶ φιλόπολις πάσχω κακῶς. 900

890. **ἐμῶν**: χρημάτων δηλονότι.

891. **ἐπ' ἀληθείᾳ**: τῶν σοι λελεγμένων δηλονότι· ἢ ἀντὶ τοῦ ἀληθῶς. — **μάρτυρος**: ὅτι τινὰ ἧκεν ἄγων, ἵνα, ἐάν τι παρ' αὐτῶν ἀκούσῃ, συμμαρτυρήσῃ αὐτῷ πρὸς τοὺς δικαστάς.

894. **χρῆμα κτέ.**: ἀντὶ τοῦ τεμάχη, κρέα. τεμαχῶν δὲ (ἀπὸ τοῦ τέμνω) κομματίων ἰχθύων· τέμαχος γὰρ κυρίως ἐπὶ τῶν ἰχθύων λέγεται.

896. **τοῦ ψύχους**: ὀσφραίνεται, αἰσθάνεται δηλονότι.

899. **οἴμοι**: φεῦ. — **ἄχθομαι**: λυποῦμαι.

ΔΙΚΑΙΟΣ.

σὺ φιλόπολις καὶ χρηστός;

ΣΥΚΟΦΑΝΤΗΣ.

ὡς οὐδείς γ' ἀνήρ.

ΔΙΚΑΙΟΣ.

καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι.

ΣΥΚΟΦΑΝΤΗΣ.

τὸ τί;

ΔΙΚΑΙΟΣ.

γεωργὸς εἶ;

ΣΥΚΟΦΑΝΤΗΣ.

μελαγχολᾶν μ' οὕτως οἴει;

ΔΙΚΑΙΟΣ.

ἀλλ' ἔμπορος;

ΣΥΚΟΦΑΝΤΗΣ.

ναί, σκήπτομαί γ', ὅταν τύχῃ.

ΔΙΚΑΙΟΣ.

τί δαί; τέχνην τιν' ἔμαθες;

ΣΥΚΟΦΑΝΤΗΣ.

οὐ μὰ τὸν Δία. 905

903. **μελαγχολᾶν**: *μαίνεσθαι* (12), *ὥστε ἀποτρέχειν εἰς τὰς ἐρήμους, ὡς οἱ γεωργοί.*

904. **σκήπτομαι**: *προφασίζομαι. τινὲς γὰρ τῶν πολιτῶν, ἡνίκα πόλεμος ἦν, τὴν ἐμπορίαν ἐπροφασίζοντο. οἱ γὰρ ἔμποροι ἐπὶ τὰς στρατείας οὐκ ἐξῄεσαν, ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖστα διὰ τῆς αὐτῶν ἐμπορίας. διὸ καὶ ὁ συκοφάντης λέγει ὅτι, ὅταν γένηταί τις καιρὸς πολέμου, ἔμπορον ἐμαυτόν ἀποκαλῶ.*

ΔΙΚΑΙΟΣ.

πῶς οὖν διέζης ἢ πόθεν μηδὲν ποιῶν;

ΣΥΚΟΦΑΝΤΗΣ.

τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων
καὶ τῶν ἰδίων πάντων.

ΔΙΚΑΙΟΣ.

σύ; τί παθών;

ΣΥΚΟΦΑΝΤΗΣ.

βούλομαι.

ΔΙΚΑΙΟΣ.

πῶς οὖν ἂν εἴης χρηστός, ὦ τοιχωρύχε,
εἴ σοι προσῆκον μηδὲν εἶτ' ἀπεχθάνει; 910

ΣΥΚΟΦΑΝΤΗΣ.

οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
εὐεργετεῖν, ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;

ΔΙΚΑΙΟΣ.

εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;

908. **τῶν ἰδίων**: τῶν ἰδιωτικῶν ἤτοι τῶν καθ' ἕκαστον. — **τί παθών**: διὰ τί;

910. **εἴ σοι κτέ.**: εἰ διὰ τῶν πραγμάτων τῶν σοι μηδὲν διαφερόντων ἀπεχθάνει τοῖς ἀνθρώποις, διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις πράγμασιν. ὁ γὰρ ἀλλοτρίων ἐπιμελεῖσθαι βουλόμενος μισεῖται.

912. **κέπφε**: ἀνόητε. ὄρνις δὲ θαλάττιος τὸ κέπφος, ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. καὶ οἱ παῖδες, τοῦτο βουλόμενοι χειρώσασθαι, ῥίπτουσι τὸ πρῶτον πόρρωθεν ἀφρόν, εἶτα ἐγγύτατα, εἶτα φέρουσι τοῦτο ἐν ταῖς χερσίν, καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται οὖν εἰς παροιμίαν τῶν ἀλογίστων ἀνδρῶν. — **καθ' ὅσον ἂν σθένω**: ἤγουν κατὰ δύναμιν.

913. **εὐεργετεῖν**: τὴν πόλιν δηλ. — **πολυπραγμονεῖν**: τὸ πράγμασι καὶ κακουργίαις ἑαυτὸν ἐνδιδόναι.

ΣΥΚΟΦΑΝΤΗΣ.

τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις
καὶ μὴ 'πιτρέπειν ἐάν τις ἐξαμαρτάνῃ. 915

ΔΙΚΑΙΟΣ.

οὔκουν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
κἀρχὰς κἀθίστησιν;

ΣΥΚΟΦΑΝΤΗΣ.

κατηγορεῖ δὲ τίς;

ΔΙΚΑΙΟΣ.

ὁ βουλόμενος.

ΣΥΚΟΦΑΝΤΗΣ.

οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ὥστ' εἰς ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.

ΔΙΚΑΙΟΣ.

νὴ Δία, πονηρόν τἄρα προστάτην ἔχει. 920
ἐκεῖνο δ' οὐ βούλοι' ἄν, ἡσυχίαν ἔχων
ζῆν ἀργός;

ΣΥΚΟΦΑΝΤΗΣ.

ἀλλὰ προβατίου βίον λέγεις,
εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.

ΔΙΚΑΙΟΣ.

οὐδ' ἂν μεταμάθοις;

914. **κειμένοις**: *τεταγμένοις.*

915. **ἐπιτρέπειν**: *συγχωρεῖν, ἐᾶν.*

916. **ἐξεπίτηδες**: *ἐπ' αὐτῷ τούτῳ, ἵνα παρ' αὐτῶν βοηθῶνται οἱ νόμοι.*

918. **ἐκεῖνος**: *ὁ κατηγορῶν.*

920. **προστάτην**: *φροντιστήν, ἐπιμελητὴν τῶν πραγμάτων αὐτῆς.* — **ἔχει**: *ἡ πόλις δηλονότι.*

922. **ἀργός**: *ἀντὶ τοῦ ἀεργός.*

923. **διατριβή**: *ἐπιτήδευμα, δίαιτα, διαγωγή· καὶ χρόνου δηλονότι.*

924. **μεταμάθοις**: *κυρίως μεταμαθεῖν ἔλεγον τὸ μετά τινα ἕτερόν τι μαθεῖν, ἀφιεμένου τοῦ πρώτου. ἤγουν ἀντὶ τῆς πολυπραγμοσύνης ἄλλην ἑτέραν τέχνην μάθοις.*

ΣΥΚΟΦΑΝΤΗΣ.

οὐδ' ἂν εἰ δοίης γέ μοι
τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον. 925

ΚΑΡΙΩΝ.

κατάθου ταχέως θοἰμάτιον.

ΔΙΚΑΙΟΣ (*to the* Informer).

οὗτος, σοὶ λέγει.

ΚΑΡΙΩΝ.

ἔπειθ' ὑπόλυσαι.

ΔΙΚΑΙΟΣ (*as before*).

ταῦτα πάντα σοὶ λέγει.

ΣΥΚΟΦΑΝΤΗΣ (*defiantly*).

καὶ μὴν προσελθέτω πρὸς ἔμ' ὑμῶν ἐνθαδὶ
ὁ βουλόμενος.

ΚΑΡΙΩΝ.

οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.

Cario *advances, and proceeds to strip the* Informer.

ΣΥΚΟΦΑΝΤΗΣ (*resisting*).

οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν. 930

925. **τὸ Βάττου σίλφιον**: σίλφιον βοτάνη ἐστὶν ἀξία πολλοῦ. ὁ δὲ Βάττος Κυρήνην ἐν Λιβύῃ ἔκτισεν, ἐλθὼν ἀπὸ Θήρας, τῆς κατὰ Κρήτην νήσου. ὃν τιμήσαντες οἱ Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων, τὸ σίλφιον, καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν τῇ χειρὶ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον. ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους τιμὰς δεχομένων.

927. **ὑπόλυσαι**: τὰ ὑποδήματα δηλονότι.

929. **ἐκεῖνος**: ὁ βουλόμενος προσελθεῖν (918).

930. **ἀποδύομαι**: τὸ ἱμάτιον δηλονότι. — **καθ' ἡμέραν**: ἀντὶ τοῦ ἐν ἡμέρᾳ.

ΚΑΡΙΩΝ.

σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.

ΣΥΚΟΦΑΝΤΗΣ (*to* WITNESS, *who is sneaking off the stage*).

ὁρᾷς ἃ ποιεῖ; ταῦτ' ἐγὼ μαρτύρομαι.

ΔΙΚΑΙΟΣ.

ἀλλ' οἴχεται φεύγων ὃν εἶχες μάρτυρα.

ΣΥΚΟΦΑΝΤΗΣ.

οἴμοι περιείλημμαι μόνος.

ΚΑΡΙΩΝ.

νυνὶ βοᾷς;

ΣΥΚΟΦΑΝΤΗΣ.

οἴμοι μάλ' αὖθις.

ΚΑΡΙΩΝ (*to* SLAVE *of the* HONEST MAN).

δὸς σύ μοι τὸ τριβώνιον, 935

ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.

ΔΙΚΑΙΟΣ.

μὴ δῆθ'· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.

ΚΑΡΙΩΝ.

ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται
ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει. 940

CARIO *puts the ragged cloak on the* INFORMER.

931. **ἀξιοῖς**: ἄξιον κρίνεις. — **τἀλλότρια πράττων**: ξένα ἀπαιτῶν.

937. **μὴ δῆτα**: μηδαμῶς. — **ἱερόν**: πᾶν τὸ ἀνατιθέμενον τοῖς θεοῖς ἱερὸν ἦν.

940. **σεμνοῖς**: λαμπροῖς.

ΔΙΚΑΙΟΣ.

τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; εἰπέ μοι.

ΚΑΡΙΩΝ.

καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα
ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτῳί.

ΣΤΚΟΦΑΝΤΗΣ (*frightened at this threat*).

ἄπειμι· γιγνώσκω γὰρ ἥττων ὢν πολὺ
ὑμῶν· ἐὰν δὲ σύζυγον λάβω τινὰ 945
κἂν σύκινον, τοῦτον τὸν ἰσχυρὸν θεὸν
ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην,
ὁτιὴ καταλύει περιφανῶς εἷς ὢν μόνος
τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν
τὴν τῶν πολιτῶν οὔτε τὴν ἐκκλησίαν. 950

ΔΙΚΑΙΟΣ.

καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
ἔχων βαδίζεις, εἰς τὸ βαλανεῖον τρέχε·
ἔπειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς θέρου.
κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.

943. **κοτίνῳ**: ἀγρίᾳ ἐλαίᾳ· ἐπὶ γὰρ τῶν κοτίνων καὶ ἄλλων δένδρων πανταχοῦ ἐν τοῖς ἱεροῖς προσεπαττάλευον τὰ ἀναθήματα. — **προσπατταλεύσω**: κρεμάσω.

945. **σύζυγον**: βοηθόν, σύμμαχον.

946. **σύκινον**: ἴσον τῷ ἀσθενέστατον· τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενές.

948. **περιφανῶς**: ἤγουν φανερῶς.

951. **τὴν πανοπλίαν**: πανοπλία μὲν κυρίως ἡ τῶν ὅπλων πάντων διασκευή, ἐνταῦθα δὲ τὸ ἱμάτιον παίζων λέγει.

953. **κορυφαῖος**: ἐπεὶ οἱ πένητες περιίσταντο περὶ τὸ πῦρ ἐν τοῖς βαλανείοις, ὥσπερ χορός. κορυφαῖος δὲ ὁ ἐν χορῷ πρῶτος.

954. **τὴν στάσιν ταύτην**: τὸ εἶναι κορυφαῖος καὶ πρῶτος τῶν πενήτων.

ΚΑΡΙΩΝ.

ἀλλ' ὁ βαλανεὺς ἕλξει θύραζ' αὐτὸν λαβὼν 955
τῶν ὀρχιπέδων· ἰδὼν γὰρ αὐτὸν γνώσεται
ὅτι ἔστ' ἐκείνου τοῦ πονηροῦ κόμματος.
νὼ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.

Exit INFORMER, R.; *also* CARIO *and the* HONEST MAN, *with his* SLAVE, *into the house.*

A dance by the CHORUS follows.

955. **ὁ βαλανεύς**: *ὁ τοῦ βαλανείου ἐπιστάτης.* — **ἕλξει**: *ἑλκύσει.* — **θύραζε**: *ἐκτὸς τῆς θύρας.*

957. **κόμματος**: 862.

958. **νώ**: *ἡμεῖς.*

SCENE 4.

An Old Woman comes to complain that her young lover, being now rich instead of poor, is no longer faithful to her. She wishes the help of Plutus to win him back. Chremylus pretends to sympathize, but really ridicules her.

Enter, r., *an affected* Old Woman, *carrying some cakes on a tray. She addresses the* Chorus, *and is about to call out to those within, when* Chremylus, *hearing her voice, comes out and converses with her.*

[METRE: *Iambic Trimeter.*]

CHREMYLUS. OLD WOMAN. CHORUS.

ΓΡΑΥΣ (*as she enters, to the* CHORUS).

ἆρ', ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν
ἀφίγμεθ' ὄντως τοῦ νέου τούτου θεοῦ, 960
ἢ τῆς ὁδοῦ τὸ παράπαν ἡμαρτήκαμεν;

ΧΟΡΟΣ.

ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη,
ὦ μειρακίσκη· πυνθάνει γὰρ ὡρικῶς.

ΓΡΑΥΣ.

φέρε νυν ἐγὼ τῶν ἔνδοθεν καλέσω τινά.

ΧΡΕΜΥΛΟΣ (*entering, from the house*).

μὴ δῆτ'· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα. 965
ἀλλ' ὅ τι μάλιστ' ἐλήλυθας λέγειν σ' ἐχρῆν.

ΓΡΑΥΣ.

πέπονθα δεινὰ καὶ παράνομ', ὦ φίλτατε·
ἀφ' οὗ γὰρ ὁ θεὸς οὗτος ἤρξατο βλέπειν,
ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.

ΧΡΕΜΥΛΟΣ.

τί δ' ἔστιν; ἦ που καὶ σὺ συκοφάντρια 970
ἐν ταῖς γυναιξὶν ἦσθα;

963. **μειρακίσκη**: *προσπαίζουσι τῇ γραΐ οἱ γέροντες· καὶ μειρακίσκην λέγουσι διὰ τὸ τεθρυμμένον τοῦ ὡραϊσμοῦ* (1064). —**ὡρικῶς**: *εὐπρεπῶς, ἢ κατὰ καιρόν, ἤγουν ὡς πυνθάνονται αἱ ἐν ὥρᾳ οὖσαι γυναῖκες.*

969. **ἀβίωτον**: 197.

ΓΡΑΥΣ (*indignantly*).

μὰ Δί' ἐγὼ μὲν οὔ.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;

ΓΡΑΥΣ.

σκώπτεις· ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν ἐρεῖς ἀνύσασα τὸν κνισμὸν τίνα;

ΓΡΑΥΣ.

ἄκουέ νυν. ἦν μοί τι μειράκιον φίλον, 975
πενιχρὸν μέν, ἄλλως δ' εὐπρόσωπον καὶ καλὸν
καὶ χρηστόν· εἰ γάρ του δεηθείην ἐγώ,
ἅπαντ' ἐποίει κοσμίως μοι καὶ καλῶς·
ἐγὼ δ' ἐκείνῳ γ' αὖ τὰ πάνθ' ὑπηρέτουν.

ΧΡΕΜΥΛΟΣ.

τί δ' ἦν ὅ τι σου μάλιστ' ἐδεῖθ' ἑκάστοτε; 980

ΓΡΑΥΣ.

οὐ πολλά· καὶ γὰρ ἐκνομίως μ' ᾐσχύνετο.
ἀλλ' ἀργυρίου δραχμὰς ἂν ᾔτησ' εἴκοσιν

972. **ἀλλ' οὐ λαχοῦσ' ἔπινες κτέ.**: παρὰ προσδοκίαν· δέον γὰρ εἰπεῖν, ἀλλ' οὐ λαχοῦσ' ἔκρινες ἐν τῷ δικαστηρίῳ (277), τὴν γυναῖκα διαβάλλειν θέλων ὡς φιλοῦσαν τὸν οἶνον, ἔπινές φησι.

973. **κατακέκνισμαι**: ὑπὸ ἔρωτος πάσχω. — **δειλάκρα**: μαλ' ἀθλία.

974. **ἀνύσασα**: σπουδάσασα.

975. **μειράκιον**: παιδίον ἀπὸ τῶν δώδεκα ἐτῶν μέχρι τῶν ὀκτωκαίδεκα.

976. **πενιχρόν**: πτωχόν.

979. **ὑπηρέτουν**: ἐδίδουν.

980. **ἐδεῖτο**: ἔχρῃζε.

981. **ἐκνομίως**: ὑπερφυῶς, μεγάλως.

εἰς ἱμάτιον, ὀκτὼ δ' ἂν εἰς ὑποδήματα·
καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
ἐκέλευσεν ἄν, τῇ μητρί θ' ἱματίδιον· 985
πυρῶν τ' ἂν ἐδεήθη μεδίμνων τεττάρων.

ΧΡΕΜΥΛΟΣ (*ironically*).

οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γε
εἴρηκας, ἀλλὰ δῆλον ὅτι σ' ᾐσχύνετο.

ΓΡΑΥΣ.

καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητίας
αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα, 990
ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῆτό μου.

ΧΡΕΜΥΛΟΣ.

λέγεις ἐρῶντ' ἄνθρωπον ἐκνομιώτατα.

ΓΡΑΥΣ.

ἀλλ' οὐχὶ νῦν ὁ βδελυρὸς ἔτι τὸν νοῦν ἔχει
τὸν αὐτόν, ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ (*holding up the tray*) 995
καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
ἐπόντα πεμψάσης ὑπειπούσης θ' ὅτι
εἰς ἑσπέραν ἥξοιμι, —

ΧΡΕΜΥΛΟΣ.

τί σ' ἔδρασ'; εἰπέ μοι.

984. **ἀγοράσαι**: ἀντὶ τοῦ ὠνήσασθαι.
986. **πυρῶν**: σίτου. — **μεδίμνων**: μέτρον τι.
989. **μισητίας**: μισητία ἡ ἐπιθυμία τοῦ κέρδεος.
992. **ἐκνομιώτατα**: ὑπερφυῶς, ὑπὲρ τὸ νενομισμένον.
993. **βδελυρός**: αἰσχροποιός.

ΓΡΑΥΣ.

ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί (*pointing to the tray*),
ἐφ' ᾧ τ' ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι, 1000
καὶ πρὸς ἐπὶ τούτοις εἶπεν ἀποπέμπων ὅτι
πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

ΧΡΕΜΥΛΟΣ.

δῆλον ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν.
ἔπειτα πλουτῶν οὐκέθ' ἥδεται φακῇ·
πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἂν ἤσθιεν. 1005

ΓΡΑΥΣ.

καὶ μὴν πρὸ τοῦ γ' ὁσημέραι νὴ τὼ θεὼ
ἐπὶ τὴν θύραν ἐβάδιζεν ἀεὶ τὴν ἐμήν.

ΧΡΕΜΥΛΟΣ.

ἐπ' ἐκφοράν;

ΓΡΑΥΣ.

μὰ Δί', ἀλλὰ τῆς φωνῆς μόνον
ἐρῶν ἀκοῦσαι.

ΧΡΕΜΥΛΟΣ.

τοῦ λαβεῖν μὲν οὖν χάριν.

999. **ἄμητα**: εἶδος πλακοῦντος ἐκ γάλακτος κατασκευασμένου.

1002. ἐλθόντες ποτὲ οἱ Καρικοὶ εἰς τὸν Ἀπόλλωνα, καὶ πυνθανόμενοι αὐτοῦ, εἰ δέῃ Μιλησίους συμμάχους λαβεῖν, χρησμὸν ἔλαβον, ὅτι πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. τινὲς γάρ φασιν ὅτι ἐν τοῖς παλαιοῖς χρόνοις ἰσχυρότατοι ἦσαν οἱ Μιλήσιοι, καὶ ὅπου προσετίθεντο πάντως ἐνίκων. οὗτος δὲ ὁ χρησμὸς ὡς παροιμία εἴρηται, ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονούντων, νῦν δὲ ἀτυχούντων. καὶ ἡ γραῦς ποτ' ἦν καλή.

1004. **φακῇ**: 192. καὶ παρεικάζει φακῇ τὴν γραῦν.

1006. **ὁσημέραι**: πάντοτε, καθ' ἡμέραν.

1008. **ἐπ' ἐκφοράν**: σοῦ δηλονότι· ἤγουν εἰς τάφον, ὡς νεκρᾶς.

ΓΡΑΥΣ.

καὶ νὴ Δί' εἰ λυπουμένην γ' αἴσθοιτό με, 1010
νηττάριον ἂν καὶ φάβιον ὑπεκορίζετο.

ΧΡΕΜΥΛΟΣ.

ἔπειτ' ἴσως ᾔτησ' ἂν εἰς ὑποδήματα.

ΓΡΑΥΣ.

μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
ἐπὶ τῆς ἁμάξης ὅτι προσέβλεψέν μέ τις,
ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν. 1015
οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.

ΧΡΕΜΥΛΟΣ.

μόνος γὰρ ἥδεθ', ὡς ἔοικεν, ἐσθίων.

ΓΡΑΥΣ.

καὶ τάς γε χεῖρας παγκάλας ἔχειν μ' ἔφη.

ΧΡΕΜΥΛΟΣ.

ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσιν.

ΓΡΑΥΣ.

ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου. 1020

1011. **νηττάριον**: *νῆττα ὄρνις τις ἐν τοῖς ὕδασι διατρίβων.* — **φάβιον**: *φάψ εἶδός ἐστιν ἀγρίου ὄρνιθος.* — **ὑπεκορίζετο**: *ὑποκορίζομαι τὸ ὀνομάζω γλυκὺ ὄνομα, φιλίας χάριν.*

1013. **μυστηρίοις**: 845. — **ὀχουμένην**: *ὀχοῦμαι τὸ ἐφ' ἅρματος φέρομαι.*

1014. **ἐπὶ τῆς ἁμάξης κτέ.**: *αἱ γὰρ Ἀθηναίων γυναῖκες ἐφ' ἁμαξῶν ὀχούμεναι εἰς τὰ μεγάλα Ἐλευσίνια ἀπήρχοντο, καὶ ἐλοιδοροῦντο ἀλλήλας ἐν τῇ ὁδῷ.*

1016. **ζηλότυπος**: *ζηλωτής, ὕποπτος.*

1017. **μόνος**: *σύναπτε πρὸς τὸ ἐσθίων.* — **ἐσθίων**: *τουτέστι ἀναλίσκων τὰ σά.*

1020. **ὄζειν τε κτέ.**: *ἀντὶ τοῦ, ὀσμὴν ἡδεῖαν ἔλεγεν ἱέναι ἀπὸ τοῦ σώματός μου.*

ΧΡΕΜΥΛΟΣ.

εἰ Θάσιον ἐνέχεις, εἰκότως γε νὴ Δία.

ΓΡΑΥΣ.

τὸ βλέμμα θ' ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.

ΧΡΕΜΥΛΟΣ.

οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ' ἠπίστατο
γραὸς καπρώσης τἀφόδια κατεσθίειν.

ΓΡΑΥΣ.

ταῦτ' οὖν ὁ θεός, ὦ φίλ' ἄνερ, οὐκ ὀρθῶς ποιεῖ, 1025
φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.

ΧΡΕΜΥΛΟΣ.

τί γὰρ ποιήσῃ; φράζε, καὶ πεπράξεται.

ΓΡΑΥΣ.

ἀναγκάσαι δίκαιόν ἐστι νὴ Δία
τὸν εὖ παθόνθ' ὑπ' ἐμοῦ πάλιν μ' ἀντευποιεῖν·
ἢ μηδ' ὁτιοῦν ἀγαθὸν δίκαιός ἐστ' ἔχειν. 1030

ΧΡΕΜΥΛΟΣ.

οὔκουν καθ' ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;

ΓΡΑΥΣ.

ἀλλ' οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.

ΧΡΕΜΥΛΟΣ.

ὀρθῶς γε· νῦν δέ σ' οὐκέτι ζῆν οἴεται.

1021. **Θάσιον**: οἶνον δηλονότι. — **ἐνέχεις**: ἀπὸ τοῦ ἐγχέω.

1026. **φάσκων**: καίπερ λέγων.

ΓΡΑΥΣ.

ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ', ὦ φίλτατε.

ΧΡΕΜΥΛΟΣ.

οὔκ, ἀλλὰ κατασέσηπας, ὥς γ' ἐμοὶ δοκεῖς. 1035

ΓΡΑΥΣ.

διὰ δακτυλίου μὲν οὖν ἔμεγ' ἂν διελκύσαις.

ΧΡΕΜΥΛΟΣ.

εἰ τυγχάνοι γ' ὁ δακτύλιος ὢν τηλίας.

ΓΡΑΥΣ (*looking off the stage*).

καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω·
ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν.

ΧΡΕΜΥΛΟΣ.

φαίνεται. 1040

στεφάνους γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.

SCENE 5.

A YOUNG MAN, the OLD WOMAN'S lover, enters, on his way to a revel. He mocks at her, and CHREMYLUS joins with him, though pretending to sympathize with her. The YOUNG MAN then goes in to offer to PLUTUS the garlands he is wearing.

Enter, R., *a* YOUNG MAN, *wearing garlands, and carrying a torch.*

1034. **τοῦ ἄλγους**: *τῆς λύπης.*— **κατατέτηκα**: *λέλυμαι, λεπτὴ γέγονα.*

1035. **κατασέσηπας**: *σαπρὸς εἶ ὑπὸ τοῦ γήρως καὶ τῆς λύπης.*

1037. **τηλίας**: *τηλία ξύλον πλατύ, εἰς ὃ ἐτίθεσαν οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπὶ τῷ ξηραίνεσθαι.*

1040. **κῶμον**: *συμπόσιον.*

1041. **δᾷδα**: *λαμπάδα.*

[Metre: *Iambic Trimeter.*]

Chremylus. Old Woman. Young Man. [Chorus.]

ΝΕΑΝΙΑΣ (*to the* Old Woman).

ἀσπάζομαί σε,

ΓΡΑΥΣ (*to* Chremylus).

τί φησιν;

ΝΕΑΝΙΑΣ.

ἀρχαία φίλη,
πολιὰ γεγένησαι ταχύ γε νὴ τὸν οὐρανόν.

ΓΡΑΥΣ (*sadly*).

τάλαιν' ἐγὼ τῆς ὕβρεος ἧς ὑβρίζομαι.

ΧΡΕΜΥΛΟΣ.

ἔοικε διὰ πολλοῦ χρόνου σ' ἑορακέναι. 1045

ΓΡΑΥΣ.

ποίου χρόνου, ταλάνταθ', ὃς παρ' ἐμοὶ χθὲς ἦν;

ΧΡΕΜΥΛΟΣ.

τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα·
μεθύων γάρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.

ΓΡΑΥΣ.

οὔκ, ἀλλ' ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους.

1043. **πολιά**: λευκὴ τὴν τρίχα.

1044. **τάλαιν' ἐγὼ τῆς ὕβρεος**: ἀντὶ τοῦ οἴμοι τῆς ὕβρεος.

1048. **ὀξύτερον βλέπει**: τοῦτό φησιν, ἐπεὶ ὁ νεανίας ἐθεάσατο τὰς πολιὰς αὐτῆς.

1049. **ἀκόλαστος**: ἀπαίδευτος, αἰσχρός.

ΝΕΑΝΙΑΣ (*holding the torch near the* OLD WOMAN'S *face*).

ὦ Ποντοπόσειδον καὶ θεοὶ πρεσβυτικοί, 1050
ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει.

ΓΡΑΥΣ (*starting back*).

ἆ ἆ,
τὴν δᾷδα μή μοι πρόσφερ'.

ΧΡΕΜΥΛΟΣ.

εὖ μέντοι λέγει.
ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ βάλῃ
ὥσπερ παλαιὰν εἰρεσιώνην, καύσεται.

ΝΕΑΝΙΑΣ (*to the* OLD WOMAN).

βούλει διὰ χρόνου πρός με παῖσαι;

ΓΡΑΥΣ.

ποῦ, τάλαν; 1055

ΝΕΑΝΙΑΣ.

αὐτοῦ, λαβοῦσα κάρυα.

ΓΡΑΥΣ.

παιδιὰν τίνα;

1050. **ὦ Ποντοπόσειδον**: *ὦ πόντιε ἢ θαλάττιε Πόσειδον.* — **θεοὶ πρεσβυτικοί**: *οἱ τοῖς πρεσβύταις ἐφιστάμενοι θεοί· καὶ ὁ μὲν Ποσειδῶν τῶν πρεσβυτέρων ἦν θεῶν, ὁ δὲ Ἀπόλλων καὶ ὁ Διόνυσος τῶν νέων.*

1051. **τῶν ῥυτίδων ὅσας**: *ἀντὶ τοῦ ὅσας ῥυτίδας.*

1053. **σπινθήρ**: *μικρόν τι τοῦ πυρός.*

1054. **εἰρεσιώνην**: *εἰρεσιώνη κλάδος ἦν ἐλαίας, ἐξ ἐρίων συμπεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον καὶ σῦκα καὶ πάντα τὰ ἀγαθά. ταύτην δὲ πρὸ τῶν οἰκημάτων ἐτίθεντο οἱ Ἀθηναῖοι, πρὸς ἀποτροπὴν τοῦ λιμοῦ ἢ τοῦ λοιμοῦ.*

1055. **διὰ χρόνου**: *μετὰ πολὺν χρόνον.*

1056. **κάρυα**: *κάρυα λέγονται ὅσα εἴδη καρπῶν ἐκ δένδρων ἔχουσι σκληρὸν τὸ ἔξωθεν.* — **παιδιάν**: *παίγνιον.*

6

ΝΕΑΝΙΑΣ.

πόσους ἔχεις ὀδόντας.

ΧΡΕΜΥΛΟΣ.

ἀλλὰ γνώσομαι
κἄγωγ' · ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.

ΝΕΑΝΙΑΣ.

ἀπότισον · ἕνα γὰρ γόμφιον μόνον φορεῖ.

ΓΡΑΥΣ.

ταλάνταt' ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς, 1060
πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.

ΝΕΑΝΙΑΣ.

ὄναιο μέντἄν, εἴ τις ἐκπλύνειέ σε.

ΧΡΕΜΥΛΟΣ (*to the* Young Man).

οὐ δῆτ', ἐπεὶ νῦν μὲν καπηλικῶς ἔχει,
εἰ δ' ἐκπλυνεῖ τις τοῦτο τὸ ψιμύθιον,
ὄψει κατάδηλα τοῦ προσώπου τὰ ῥάκη. 1065

1057. **πόσους ἔχεις ὀδόντας**: παρὰ προσδοκίαν · δέον γὰρ εἰπεῖν πόσα ἔχεις κάρυα, ὀδόντας εἶπεν, κωμωδῶν αὐτὴν ὡς πάνυ γραῖαν. παιδιὰ δέ ἐστι τοιαύτη · δραξάμενός τις καρύων, καὶ ἐπιτείνας τὴν χεῖρα, ἐρωτᾷ, πόσα ἔχω; καὶ ἐὰν ἐπιτύχῃ ὁ ἕτερος, λαμβάνει ὅσα ἔχει ὁ ἐρωτήσας · ἐὰν δὲ ἁμάρτῃ κατὰ τὴν ἀπόκρισιν, ἀποτίνει ὅσα ὁ ἐρωτήσας εὑρεθεὶη ἔχων.

1059. **γόμφιον**: γόμφιοι οἱ ὄπισθεν ὀδόντες.

1060. **ὑγιαίνειν**: τὸν νοῦν δηλονότι.

1061. **πλυνόν**: ἄτιμον. πλυνὸς γὰρ τὸ σκάφιον ἐν ᾧ τὰ ἱμάτια πλυνόμενα ἀφιᾶσι τὸν ῥύπον.—**τοσούτοις ἀνδράσιν**: ἤγουν τοῖς θεωμένοις.

1062. **ὄναιο**: ὠφελείας τύχοις.

1063. **καπηλικῶς**: ἀντὶ τοῦ πανουργικῶς · ἐπεὶ οἱ κάπηλοι χρίειν καὶ ἀναποιεῖν τὰ ἱμάτια εἰώθασιν.

1064. **ψιμύθιον**: εἶδος χρώματος ὃ μετεχειρίζοντο αἱ γυναῖκες εἰς τὸ πρόσωπον, ἵνα φαίνηται λευκόν.

1065. **κατάδηλα**: φανερά.—**τὰ ῥάκη**: ῥάκος τὸ διερρηγμένον ἱμάτιον · μεταφορικῶς δὲ τὰς ῥυτίδας τοῦ προσώπου διεφθαρμένου ὑπὸ τοῦ γήρως.

ΓΡΑΥΣ (*to* CHREMYLUS).

γέρων ἀνὴρ ὢν οὐχ ὑγιαίνειν μοι δοκεῖς.

ΝΕΑΝΙΑΣ (*to the* OLD WOMAN).

πειρᾷ μὲν οὖν ἴσως σε καὶ τῶν τιτθίων
ἐφάπτεταί σου λανθάνειν δοκῶν ἐμέ.

ΓΡΑΥΣ (*as before*).

μὰ τὴν Ἀφροδίτην, οὐκ ἐμοῦ γ', ὦ βδελυρὲ σύ.

ΝΕΑΝΙΑΣ (*to* CHREMYLUS).

ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι.

ΧΡΕΜΥΛΟΣ.

τὸ τί; 1070

ΝΕΑΝΙΑΣ.

αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σήν, ἐπεὶ
οὐκ ἄν ποτ' ἄλλῳ τοῦτ' ἐπέτρεψ' ἐγὼ ποιεῖν·
νῦν δ' ἄπιθι χαίρων συλλαβὼν τὴν μείρακα.

ΧΡΕΜΥΛΟΣ.

μὰ τὴν Ἑκάτην, οὐ δῆτα· μαινοίμην γὰρ ἄν.
ἀλλ', ὦ νεανίσκ', οὐκ ἐῶ τὴν μείρακα 1075
μισεῖν σε ταύτην.

ΝΕΑΝΙΑΣ.

ἀλλ' ἔγωγ' ὑπερφιλῶ.

1070. **τὸ τί**: διὰ τί.
1071. **τὴν ἡλικίαν**: ἤγουν τὸ σὸν γῆρας.
1072. **ἐπέτρεψα**: ἐπιτρέπω τὸ ἐῶ.
1073. **συλλαβών**: μετά σου δηλονότι. — **τὴν μείρακα**: παίζει τὴν γραῦν οὕτως ὀνομάζων.

ΧΡΕΜΥΛΟΣ.

καὶ μὴν κατηγορεῖ γέ σου.

ΝΕΑΝΙΑΣ.

τί κατηγορεῖ;

ΧΡΕΜΥΛΟΣ.

εἶναί σ' ὑβριστήν φησι καὶ λέγειν ὅτι
πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.
οἶδ' οἶδα τὸν νοῦν· οὐκέτ' ἀξιοῖς ἴσως 1080
εἶναι μετ' αὐτῆς. ὁ δ' ἐπιτρέψων ἐστὶ τίς;

ΝΕΑΝΙΑΣ.

οὐκ ἂν διαλεχθείην διεσπλεκωμένῃ
ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.

ΧΡΕΜΥΛΟΣ.

ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
πίνειν, συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα. 1085

ΝΕΑΝΙΑΣ.

ἀλλ' ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.

ΧΡΕΜΥΛΟΣ.

οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.

ΝΕΑΝΙΑΣ (*to* Chremylus).

ἀλλ' εἴσιθ' εἴσω· τῷ θεῷ γὰρ βούλομαι

1080. **τὸν νοῦν**: ἤγουν ὃ λέγεις.
1082. **διαλεχθείην**: ὁμιλήσαιμι. — **διεσπλεκωμένῃ**: διεφθαρμένῃ.
1085. **τὴν τρύγα**: τὴν ὕλην, τὴν ὑποστάθμην τοῦ οἴνου.
1086. **κομιδῇ**: λίαν.
1087. **τρύγοιπος**: ὁ σάκκινος, δι' οὗ τὴν τρύγα τοῦ οἴνου ἐσάκκουν.

ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τούσδ' ὡς ἔχω.

Starts towards the house.

ΓΡΑΥΣ (*following him*).

ἐγὼ δέ γ' αὐτῷ καὶ φράσαι τι βούλομαι. 1090

ΝΕΑΝΙΑΣ (*stopping*).

ἐγὼ δέ γ' οὐκ εἴσειμι.

ΧΡΕΜΥΛΟΣ (*encouragingly*).

θάρρει, μὴ φοβοῦ.

οὐ γὰρ βιάσεται.

ΝΕΑΝΙΑΣ.

πάνυ καλῶς τοίνυν λέγεις.

ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.

ΓΡΑΥΣ.

βάδιζ'· ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.

The YOUNG MAN *enters the house, followed by the* OLD WOMAN.

ΧΡΕΜΥΛΟΣ (*looking after them*).

ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γράδιον 1095

ὥσπερ λεπὰς τῷ μειρακίῳ προσίσχεται.

Exit CHREMYLUS *into the house. The door is shut.*

A dance of the CHORUS occupies the interval between this scene and the next.

1092. **βιάσεται**: σὲ ἡ γραῦς δηλονότι.
1093. **ὑπεπίττουν**: τουτέστιν ἐφίλουν.
1095. **εὐτόνως**: ἰσχυρῶς.
1096. **λεπάς**: κογχύλιόν τι, ἢ εἶδος ὀστρέου ὃ ταῖς πέτραις προσπήγνυται, καὶ δυσαπόσπαστόν ἐστιν, ἐπειδάν τις αὐτοῦ βουληθείη λαβεῖν.



ACT V.

SCENE I.

The god Hermes informs Cario of the anger of Zeus on account of the neglect shown him by men since they have grown rich, and of his determination to punish them. The god laments that he himself is in a desperate plight, and begs Cario to receive him into the house and give him work to do, reminding the latter of his services to him in earlier days,

when he often enabled him to escape detection and punishment for his crimes. CARIO agrees to help him, and sets him at a menial task.

Enter HERMES, L. *He knocks at the door of the house, then hides, true to his nature as the God of Trickery.* CARIO *opens the door, and looks about inquiringly.*

[METRE: *Iambic Trimeter.*]

HERMES. CARIO. [CHORUS.]

ΚΑΡΙΩΝ.

τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
(*A pause.*) οὐδεὶς ἔοικεν· ἀλλὰ δῆτα τὸ θύριον
φθεγγόμενον ἄλλως κλαυσιᾷ. (*Turns to go in again.*)

ΕΡΜΗΣ (*appearing, and calling him back*).

σέ τοι λέγω,
ὁ Καρίων, ἀνάμεινον.

ΚΑΡΙΩΝ (*coming forward, angrily*).

οὗτος, εἰπέ μοι, 1100
σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;

ΕΡΜΗΣ.

μὰ Δί', ἀλλ' ἔμελλον· εἶτ' ἀνέῳξάς με φθάσας.
ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ,

1097. **κόπτων**: κόπτει τις τὴν θύραν, ὅταν ἔξωθεν πλήττῃ· ψοφεῖ δέ, ὅταν ἔσωθεν.

1098. **ἔοικεν**: ἀντὶ τοῦ ὡς ἔοικεν.

1099. **φθεγγόμενον**: βοώμενον. — **ἄλλως κλαυσιᾷ**: μάτην τὰ τῶν κλαιόντων μιμεῖται.

ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία,
ἔπειτα τοὺς θεράποντας, εἶτα τὴν κύνα, 1105
ἔπειτα σαυτόν, εἶτα τὴν ὗν.

ΚΑΡΙΩΝ.

εἰπέ μοι,
τί δ' ἔστιν;

ΕΡΜΗΣ.

ὁ Ζεύς, ὦ πονηρέ, βούλεται
ἐς ταὐτὸν ὑμᾶς συγκυκήσας τρύβλιον
ἁπαξάπαντας εἰς τὸ βάραθρον ἐμβαλεῖν.

ΚΑΡΙΩΝ.

ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται. 1110
ἀτὰρ διὰ τί δὴ ταῦτ' ἐπιβουλεύει ποιεῖν
ἡμᾶς;

ΕΡΜΗΣ.

ὁτιὴ δεινότατα πάντων πραγμάτων
εἴργασθ'. ἀφ' οὗ γὰρ ἤρξατ' ἐξ ἀρχῆς βλέπειν
ὁ Πλοῦτος, οὐδεὶς οὐ λιβανωτόν, οὐ δάφνην,
οὐ ψαιστόν, οὐχ ἱερεῖον, οὐκ ἄλλ' οὐδὲ ἓν 1115
ἡμῖν ἔτι θύει τοῖς θεοῖς.

1108. **συγκυκήσας**: *συμμίξας.* — **τρύβλιον**: *ἀγγεῖον.*

1109. **βάραθρον**: *τόπος ὅπου οἱ κακοῦργοι ἐρρίπτοντο* (431).

1110. *τῶν γὰρ θυομένων τὴν γλῶτταν τῷ Ἑρμῇ ἐδίδουν, ἐπειδὴ τῶν λόγων δεσπότης ἦν. καὶ ταῦτα εἰρωνικῶς, ὥσεὶ ἔλεγε, κακὰ συλλέγει, καὶ ἡμεῖς ἀδίκως αὐτῷ θύομεν τὰς γλώττας.* — **τούτων**: *σύναπτε πρὸς τὸ κήρυκι.*

1114. **λιβανωτόν**: *ἄλλο λίβανος καὶ ἄλλο λιβανωτός· λίβανος μὲν γὰρ αὐτὸ τὸ δένδρον, λιβανωτὸς δὲ ὁ καρπὸς αὐτοῦ.* — **δάφνην**: *δάφνη τὸ δένδρον καθιερωμένον τῷ Ἀπόλλωνι.*

1115. **ψαιστόν**: 138. — **ἱερεῖον**: *θυσίαν.*

ΚΑΡΙΩΝ.

μὰ Δί', οὐδέ γε
θύσει. κακῶς γὰρ ἐπεμελεῖσθ' ἡμῶν τότε.

ΕΡΜΗΣ.

καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει,
ἐγὼ δ' ἀπόλωλα κἀπιτέτριμμαι.

ΚΑΡΙΩΝ.

σωφρονεῖς.

ΕΡΜΗΣ.

πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσιν 1120
πάντ' ἀγάθ' ἕωθεν εὐθύς, οἰνοῦτταν, μέλι,
ἰσχάδας, ὅσ' εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν·
νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι.

ΚΑΡΙΩΝ.

οὔκουν δικαίως, ὅστις ἐποίεις ζημίαν
ἐνίοτε τοιαῦτ' ἀγάθ' ἔχων;

ΕΡΜΗΣ.

οἴμοι τάλας, 1125
οἴμοι πλακοῦντος τοῦ 'ν τετράδι πεπεμμένου.

1119. **κἀπιτέτριμμαι**: *ἐπιτέτριμμαι τὸ ἐφθάρην.* — **σωφρονεῖς**: *σοφὸς εἶ· εἰρωνικῶς, ἐπεὶ εἶπεν ὁ θεός, καὶ τῶν μὲν ἄλλων κτέ.*

1120. **καπηλίσιν**: 435.

1121. **οἰνοῦτταν**: *ἀπὸ τοῦ οἰνόεις· μάζαν δηλονότι. εἶδος δέ ἐστι πλακοῦντος μετ' οἴνου καὶ μέλιτος γιγνόμενον.*

1123. **ἀναβάδην ἀναπαύομαι**: *ἄνω ἔχω τοὺς πόδας ἐν τῇ κλίνῃ κοιμώμενος. οἱ γὰρ δοῦλοι τοὺς πόδας ἄνω εἶχον πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τοῦ δρόμου.*

1124. **δικαίως**: *πάσχεις τοῦτο δηλονότι.* — **ὅστις ἐποίεις κτέ.**: *ἀντὶ τοῦ, ὅστις ἐποίεις ζημιοῦσθαι τοὺς ταῦτα τὰ ἀγαθά σοι παρέχοντας, τοὺς καπήλους δηλονότι.*

1126. **τετράδι**: *ἡ γὰρ τετάρτη ἡμέρα τοῦ μηνὸς ἐνομίζετο τοῦ Ἑρμοῦ. ἔξω δὲ*

ΚΑΡΙΩΝ.

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

ΕΡΜΗΣ.

οἴμοι δὲ κωλῆς ἧς ἐγὼ κατήσθιον·

ΚΑΡΙΩΝ.

ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.

ΕΡΜΗΣ.

σπλάγχνων τε θερμῶν ὧν ἐγὼ κατήσθιον. 1130

ΚΑΡΙΩΝ.

ὀδύνη σε περὶ τὰ σπλάγχν' ἔοικ' ἔτι στρέφειν.

ΕΡΜΗΣ.

οἴμοι δὲ κύλικος ἴσον ἴσῳ κεκραμένης.

ΚΑΡΙΩΝ (*handing him a draught of wine*).

ταύτην ἐπιπιὼν ἀποτρέχων οὐκ ἂν φθάνοις;

ΕΡΜΗΣ (*after drinking it*).

ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;

τῶν ἑορτῶν ἱεραί τινες τοῦ μηνὸς ἡμέραι ἐνομίζοντο Ἀθήνησι θεοῖς τισιν, οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνι, τετρὰς Ἑρμῇ, καὶ ὀγδόη Θησεῖ. — **πεπεμμένου**: ἀπὸ τοῦ πέττω.

1128. **κωλῆς**: κωλῆ ὁ μηρὸς τῶν ἱερείων, ὃς ἱερὸς ἦν τοῦ Ἑρμοῦ.

1129. **ἀσκωλίαζε**: τὰ Ἀσκώλια ἦν ἑορτὴ τοῦ Διονύσου, ἐν ᾗ ἐπὶ τῶν ἀσκῶν οἴνου ἑνὶ ποδὶ ὠρχοῦντο. ὁ μέντοι μὴ καταπεσὼν ἆθλον εἶχε τὸν οἶνον. τὸ δὲ ἀσκωλίαζε ἀντὶ τοῦ ὀρχοῦ. — **πρὸς τὴν αἰθρίαν**: ἐν ὑπαίθρῳ.

1132. **κύλικος**: κύλιξ εἶδος ποτηρίου. — **ἴσον ἴσῳ**: ὕδωρ οἴνῳ δηλονότι.

1134. **φίλον**: ἡ τῶν κλεπτῶν τέχνη τῷ Ἑρμῇ ἀνάκειται· ἐπεὶ δὲ καὶ οἱ θεράποντες κλέπται, τούτου ἕνεκα φίλον ἑαυτὸν Καρίωνι λέγει.

ΚΑΡΙΩΝ.

εἴ του δέει γ' ὧν δυνατός εἰμί σ' ὠφελεῖν. 1135

ΕΡΜΗΣ.

εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον
δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν
ὧν θύεθ' ὑμεῖς ἔνδον.

ΚΑΡΙΩΝ.

ἀλλ' οὐκ ἐκφορά.

ΕΡΜΗΣ.

καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
ὑφέλοι', ἐγώ σ' ἂν λανθάνειν ἐποίουν ἀεί. 1140

ΚΑΡΙΩΝ.

ἐφ' ᾧ τε μετέχειν καὐτός, ὦ τοιχωρύχε.
ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.

ΕΡΜΗΣ.

ἔπειτα τοῦτόν γ' αὐτὸς ἂν κατήσθιες.

ΚΑΡΙΩΝ.

οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί,
ὁπότε τι ληφθείην πανουργήσας ἐγώ. 1145

1137. **νεανικόν**: *ἀντὶ τοῦ μέγα.*

1138. **ἐκφορά**: *τῶν κρεῶν δηλονότι. ἦσαν γάρ τινες θυσίαι, ἀφ' ὧν οὐχ οἷον τε ἦν μεταδοῦναι ἢ ἐξενεγκεῖν.*

1139. **σκευάριον**: *ἀγγεῖον.*

1140. **ὑφέλοιο**: *ἔκλεπτες.* — **λανθάνειν**: *τὸν σὸν δεσπότην δηλονότι.*

1141. **ἐφ' ᾧ τε μετέχειν**: *ἵνα λάβῃς καὶ αὐτὸς τὸ μέρος σου.* — **τοιχωρύχε**: *κλέπτα.*

1142. **ναστός**: *εἶδος πλακοῦντος ξηροῦ.*

ΕΡΜΗΣ.

μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
ἀλλὰ ξύνοικον πρὸς θεῶν δέξασθέ με.

ΚΑΡΙΩΝ.

ἔπειτ' ἀπολιπὼν τοὺς θεοὺς ἐνθάδε μενεῖς;

ΕΡΜΗΣ.

τὰ γὰρ παρ' ὑμῖν ἐστι βελτίω πολύ.

ΚΑΡΙΩΝ.

τί δέ; ταὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ; 1150

ΕΡΜΗΣ.

πατρὶς γάρ ἐστι πᾶσ' ἵν' ἂν πράττῃ τις εὖ.

ΚΑΡΙΩΝ.

τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν;

ΕΡΜΗΣ.

παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.

1146. **μὴ μνησικακήσῃς, κτέ.**: *ἀντὶ τοῦ, μὴ ὀργισθῇς, εἰ καὶ ἐπλούτησας. μετὰ γὰρ τὸ κατελθεῖν τοὺς μετὰ Θρασυβούλου Φυλήν, χωρίον τι τῆς Ἀττικῆς, καταλαβόντας καὶ νικήσαντας ἐν Πειραιεῖ τοὺς τριάκοντα τυράννους, ψηφίσασθαι ἔδοξε μὴ μνησικακῆσαι καθάπαξ ἀλλήλοις μηδὲν τοὺς πολίτας. ὁ δὲ μνησίκακος ὅστις φυλάττῃ τῇ μνήμῃ τὴν ὕβριν ἢ ζημίαν ἣν ὑπέφερε, καὶ ζητεῖ καιρὸν τοῦ τιμωρεῖσθαι.*

1149. **τὰ γὰρ κτέ.**: *ναί, τὰ γὰρ κτέ.*

1150. **ταὐτομολεῖν**: *τὸ ἀπὸ τῶν οἰκείων εἰς τοὺς ἀλλοτρίους ἐξέρχεσθαι.* — **ἀστεῖον**: *καλόν.*

1151. *τραγικῶς ταῦτα ὁ ποιητής.*

1153. **στροφαῖον**: *ἢ ἀπὸ τοῦ στροφεύς (στρόφιγξ), πυλωρόν, φύλακα τῆς θύρας, ἐπ' ἀποτροπῇ τῶν ἄλλων κλεπτῶν· ἢ ἀπὸ τοῦ στρέφω, πανοῦργον, τὸν εἰδότα συμπλέκειν καὶ στρέφειν λόγους καὶ μηχανάς.* — **ἱδρύσασθε**: *ποιήσατε.*

ΚΑΡΙΩΝ.

στροφαῖον; ἀλλ' οὐκ ἔργον ἔστ' οὐδὲν στροφῶν.

ΕΡΜΗΣ.

ἀλλ' ἐμπολαῖον.

ΚΑΡΙΩΝ.

ἀλλὰ πλουτοῦμεν· τί οὖν
Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;

ΕΡΜΗΣ.

ἀλλὰ δόλιον τοίνυν.

ΚΑΡΙΩΝ.

δόλιον; ἥκιστά γε·
οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ' ἁπλῶν τρόπων.

ΕΡΜΗΣ.

ἀλλ' ἡγεμόνιον.

ΚΑΡΙΩΝ.

ἀλλ' ὁ θεὸς ἤδη βλέπει,
ὥσθ' ἡγεμόνος οὐδὲν δεησόμεσθ' ἔτι.

ΕΡΜΗΣ.

ἐναγώνιος τοίνυν ἔσομαι. καὶ τί ἔτ' ἐρεῖς;
Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,

1154. **οὐκ ἔργον**: οὐ χρεία ἐστὶν ἡμῖν. — **στροφῶν**: πανουργιῶν, ποικιλίας.

1155. **ἐμπολαῖον**: ἱδρύσασθέ με δηλ. ἐμπολαῖον δὲ τὸν πραγματευτήν, τὸν ἀγοραῖον.

1156. **παλιγκάπηλον**: παλιγκάπηλοι λέγονται οἱ τὰ αὐτὰ πωλοῦντες καὶ ἀγοράζοντες.

1157. **δόλιον**: δόλιος ὁ ἐπιμελητὴς ἢ ὁ ἐπιστάτης τοῦ δόλου.

1158. **ἁπλῶν τρόπων**: ἀδόλων ἠθῶν.

1159. **ἡγεμόνιον**: ὁδηγόν. — **ὁ θεός**: ὁ Πλοῦτος.

1161. **ἐναγώνιος**: ὁ ἐπιστάτης τῶν ἀγώνων.

ποιεῖν ἀγῶνας γυμνικοὺς καὶ μουσικῆς.

ΚΑΡΙΩΝ (*aside, to the audience*).

ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν·
οὗτος γὰρ (*pointing to* Hermes) ἐξεύρηκεν αὐτῷ βιότιον. 1165
οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ
σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.

ΕΡΜΗΣ.

οὐκοῦν ἐπὶ τούτοις εἰσίω;

ΚΑΡΙΩΝ.

καὶ πλῦνέ γε
αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
ἵν' εὐθέως διακονικὸς εἶναι δοκῇς. 1170

Exit Cario *into the house, followed by* Hermes.

A dance of the Chorus follows.

SCENE 2.

As Chremylus comes out of the house to make preparations for escorting Plutus in solemn procession to the temple of Athene, there to

1163. **ποιεῖν ἀγῶνας**: τοῦτο γὰρ ἐποίουν οἱ πλούσιοι.

1164. **ἐπωνυμίας**: ἐλέγετο γὰρ ὁ Ἑρμῆς στροφαῖος, ἐμπολαῖος, κερδῷος, δόλιος, ἡγεμόνιος, ἐναγώνιος, διάκονος.

1165. **βιότιον**: μικρὰν ζωήν, τροφήν· ἀπὸ τοῦ βίος.

1166. ὡσανεὶ ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδουσι οἱ δικάζοντες πολλὰ ὀνόματα ἔχειν, ἵνα, ἐὰν ἀποτύχωσιν ἑνός, εἰς ἄλλο δικάσωσι δικαστήριον καὶ λάβωσι τρεῖς ὀβολοὺς καθ' ἡμέραν. — **θαμά**: συνεχῶς.

1169. **φρέαρ**: ὄρυγμα ἐν τῇ γῇ, ἔνθα ὕδατος πηγή. — **κοιλίας**: τὰ ἔντερα τῶν ζώων.

install him in state, a PRIEST OF ZEUS enters, who complains that, as sacrifices are no longer offered in his temple, he is in danger of starvation. He proposes, therefore, to leave the service of Zeus and to become a priest of PLUTUS, and joins in the preparations for the procession.

Enter, R., *a* PRIEST OF ZEUS. *He enquires of the* CHORUS *where he may find* CHREMYLUS, *who enters from the house at that moment.*

[METRE: *Iambic Trimeter.*]

CHREMYLUS. PRIEST OF ZEUS. [CHORUS.]

ΙΕΡΕΥΣ (*to the* CHORUS).

τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;

ΧΡΕΜΥΛΟΣ (*as he enters*).

τί δ' ἔστιν, ὦ βέλτιστε;

ΙΕΡΕΥΣ.

τί γὰρ ἄλλ' ἢ κακῶς
[ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,]
ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω,
καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός. 1175

ΧΡΕΜΥΛΟΣ.

ἡ δ' αἰτία τίς ἐστιν, ὦ πρὸς τῶν θεῶν;

ΙΕΡΕΥΣ.

θύειν ἔτ' οὐδεὶς ἀξιοῖ.

ΧΡΕΜΥΛΟΣ.

τίνος οὕνεκα;

1171. **μοὶ σαφῶς**: *σύναπτε πρὸς τὸ φράσειε.*

1174. **λιμοῦ**: *νόμος γὰρ ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν.*

ΙΕΡΕΥΣ.

ὅτι πάντες εἰσὶ πλούσιοι· καίτοι τότε,
ὅτ' εἶχον οὐδέν, ὁ μὲν ἂν ἥκων ἔμπορος
ἔθυσεν ἱερεῖόν τι σωθείς, ὁ δέ τις ἂν 1180
δίκην ἀποφυγών· ὁ δ' ἂν ἐκαλλιερεῖτό τις,
κἀμέ γ' ἐκάλει τὸν ἱερέα· νῦν δ' οὐδὲ εἷς
θύει τὸ παράπαν οὐδέν, οὐδ' εἰσέρχεται,
πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μυρίοι.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις; 1185

ΙΕΡΕΥΣ.

τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
χαίρειν ἐάσας ἐνθάδ' αὐτοῦ καταμένειν.

ΧΡΕΜΥΛΟΣ.

θάρρει· καλῶς ἔσται γάρ, ἢν θεὸς θέλῃ.
ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
αὐτόματος ἥκων.

ΙΕΡΕΥΣ (*starting towards the house*).

πάντ' ἀγαθὰ τοίνυν λέγεις. 1190

ΧΡΕΜΥΛΟΣ (*stopping him*).

ἱδρυσόμεθ' οὖν αὐτίκα μάλ', ἀλλὰ περίμενε,

1181. **ἐκαλλιερεῖτο**: ἑόρταζε τὰ καλὰ ἱερά.

1183. **τὸ παράπαν**: παντελῶς. — **εἰσέρχεται**: εἰς τὸν ναὸν θυσιάζων.

1184. **πλεῖν**: Ἀττικῶς, ἀντὶ τοῦ πλέον.

1185. **τὰ νομιζόμενα**: τὰ κατὰ τοὺς νόμους ὀφειλόμενα.

1186. **μοὶ δοκῶ**: νομίζω συμφέρειν.

1187. **αὐτοῦ**: ἐνταῦθα.

1189. **ὁ Ζεὺς ὁ σωτήρ**: ἤγουν ὁ Πλούτος.

1191. **ἱδρυσόμεθα**: στήσομεν· ἱδρύω γὰρ τὸ καθιδρύω, τουτέστιν ἢ ναὸν ἀνεγείρω ἢ ἄγαλμα καθιστῶ.

τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος
τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
(*Speaking to those within.*) ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
ἵν' ἔχων προηγῇ τῷ θεῷ σύ.

ΙΕΡΕΥΣ.

πάνυ μὲν οὖν 1195
δρᾶν ταῦτα χρή.

ΧΡΕΜΥΛΟΣ (*as before*).

τὸν Πλοῦτον ἔξω τις κάλει.

SCENE 3.

All the characters enter from the house, and after the final preparations are made the procession marches off the stage, the PRIEST OF ZEUS leading the way, carrying torches; after him the OLD WOMAN, carrying pitchers on her head, to be used in the dedicatory ceremony; then PLUTUS, attended by CHREMYLUS, CARIO, and other slaves. The CHORUS bring up the rear.

Enter, from the house, PLUTUS, *the* OLD WOMAN, *the* YOUNG MAN, CARIO, *and a crowd of slaves.*

[METRE: 1197–1207, *Iambic Trimeter;* 1208, 1209, *Anapaestic Tetrameter Catalectic.*]

CHREMYLUS. OLD WOMAN. CHORUS.

[PLUTUS. CARIO. YOUNG MAN. SLAVES.]

1193. **τὸν ὀπισθόδομον**: ἤγουν τὸ θησαυροφυλάκιον τῶν Ἀθηναίων, ἐν τῇ ἀκροπόλει, ὀπίσω τοῦ νεὼ τῆς Ἀθηνᾶς. — **τῆς θεοῦ**: τῆς Ἀθηνᾶς.

ΓΡΑΥΣ (*as she enters*).

ἐγὼ δὲ τί ποιῶ;

ΧΡΕΜΥΛΟΣ.

τὰς χύτρας, αἷς τὸν θεὸν
ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε
σεμνῶς· ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.

ΓΡΑΥΣ.

ὧν δ' οὕνεκ' ἦλθον;

ΧΡΕΜΥΛΟΣ.

πάντα σοι πεπράξεται. 1200
ἥξει γὰρ ὁ νεανίσκος ὡς σ' εἰς ἑσπέραν.

ΓΡΑΥΣ.

ἀλλ' εἴ γε μέντοι νὴ Δί' ἐγγυᾷ σύ μοι
ἥξειν ἐκεῖνον ὡς ἔμ', οἴσω τὰς χύτρας. (*Puts them on her head.*)

ΧΡΕΜΥΛΟΣ (*aside, to the audience*).

καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
αὗται ποιοῦσι· ταῖς μὲν ἄλλαις γὰρ χύτραις 1205
ἡ γραῦς ἔπεστ' ἀνωτάτω, ταύτης δὲ νῦν
τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.

The procession is formed and begins to move off the stage.

1197. **τὰς χύτρας κτέ.**: ἔθος γὰρ ἦν ἐν ταῖς ἱδρύσεσι τῶν ἀγαλμάτων, ὀσπρίων ἡψημένων χύτρας περιπομπεύεσθαι ὑπὸ γυναικῶν.

1199. **σεμνῶς**: μεγαλοπρεπῶς. — **ποικίλα**: ἱμάτια δηλονότι. καὶ γὰρ πορφυροῖς καὶ ποικίλοις ἱματίοις ἐπόμπευον αἱ γυναῖκες.

1200. **ὧν δ' οὕνεκ' ἦλθον**: τί γενήσεται δηλονότι. 1201. **ὡς**: εἰς.

1202. **ἐγγυᾷ**: ἐγγύην δίδως, ὑπόσχῃ.

1206. **ἡ γραῦς**: σημαίνει ἐνταῦθα τὸ συναγόμενον ἐπάνω τῆς χύτρας, ὅταν ἕψηται γάλα ἢ ἄλλο τι.

1207. **ἐπιπολῆς**: Ἀττικῶς, ἀντὶ τοῦ ἐπάνω.

ΧΟΡΟΣ.

οὐκ ἔτι τοίνυν εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
εἰς τοὔπισθεν· δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

The CHORUS *join in the procession and begin to sing. Exeunt omnes.*



PA3875
.P6
Aristophanes. 05624
The Plutus of Aristophanes.

REPLACEMENT CARD

PA3875 05624
.P6
Aristophanes
The Plutus of Aristophanes

LIBRARY
OF
MOUNT SAINT MARYS
COLLEGE
EMMITSBURG, MARYLAND

O9-AVF-776